Ἐσχηκὼς οὖν τοιαύτην πρὸς ἡμᾶς διάθεσιν ἀπεκάλυπτε καὶ τὸν λογισμὸν αὐτοῦ ὅπως τε προῃρεῖτο τὸν μονήρη βίον ἐλέσθαι καὶ ὅπως παρὰ τῶν βασιλέων διεκωλύετο· χρόνου δέ τινος ἐν τῷ μεταξὺ παρῳχηκότος, ἐμοῦ τε ἀπὸ τοῦ Κυμινᾶ μεταναστεύσαντος ὄρους καὶ πρὸς τὸ τοῦ Ἄθωνος μεταφοιτήσαντος, ἐκείνου δὲ μετ' οὐ πολὺ παρὰ Ῥωμανοῦ τοῦ μακαριωτάτου βασιλέως κατὰ τῶν ἀθέων Κρητῶν ἐκστρατεῦσαι διορισθέντος, ἐν τῇ νήσῳ κατεστρατοπέδευσεν.

Ἐχόμενος[2] οὖν τῶν ἀγώνων πλειστάκις ἐπέστειλεν ἡμῖν ἐν τῇ τῶν βαρβάρων νήσῳ περαιωθέντας ὡς αὐτὸν ἀφικέσθαι· ἡμῶν δὲ μὴ βουληθέντων εἶξαι, γράμμασι πυκνοτέροις ἐκέχρητο, μὴ ποιησάμενος ἔνδοσιν ἕως πρὸς αὐτὸν τὴν ἄφιξιν ἐποιησάμεθα. Ἐν τοίνυν τῇ τῶν βαρβάρων τῷ βασιλεῖ συνδιατριβόντων ἡμῶν νήσῳ, οὐκ ἐνέλιπε παρακαλῶν καὶ προτρεπόμενος ὥστε πεῖσαι τὴν ἡμῶν μετριότητα παραδέξασθαι δομηθῆναι λαύραν ἐν τῷ κελλίῳ τῆς ἡμῶν ταπεινώσεως, πρὸς τὸ, συντελεσθησομένης ὁπηνικάτι τῆς ἐγχειρισθείσης αὐτῷ λειτουργίας τοῦ βασιλικοῦ προστάγματος, μετὰ τὸ τὴν βαρβαρικὴν ἁλῶναι πόλιν, γενέσθαι αὐτὸν ἐν τῷ ὄρει τοῦ Ἄθωνος, εἴ γε κατευοδωθείη καὶ ἀποταξασθαι, βιῶναί τε βίον, ὃν ἀνέκαθεν ἠρετίσατο. Ἐμοῦ δὲ πρὸς τὸ πρᾶγμα δυσπειθῶς ἔχοντος, διὰ τὸ ἐλευθερίως καὶ μεμονωμένως βιοῦν, εἰθισμένως τε ἔχειν τὸ τῆς ὀχλήσεως ἄχθος καὶ τὸ τῶν περισπασμῶν φεύγειν πολυάσχολον, ἀγαπητὸν γὰρ ἐλογιζόμην εἰ ἐμαυτὸν σώσαιμι, ἄλλους γὰρ σῴζειν ἴσως οὐκ ἀπαιτούμεθα, ἔτι δὲ διισχυριζομένου ὡς αὐτοῦ τούτου τοῦ Κυμινᾶ ὄρους ὑπαναχωρῆσαι καὶ μηκέτι φίλων προσανέχειν ἀπαντήσεσι δύνασθαι, ὁ αὐτὸς ἦν ἐπὶ τῆς αὐτῆς προθυμίας καὶ τῆς

2. περὶ τῆς εἰς Κρήτην πρὸς Νικηφόρον τοῦ ἁγίου περαίωσιν καὶ τῆς τῆς Λαύρας οἰκοδομῆς.

πρὸς ἡμᾶς εἴχετο παρακλήσεως, παραινῶν καταθέσθαι πρὸς τὸ τελεσθῆναι τὸν σκοπὸν αὐτοῦ.

Εἶχε μὲν οὖν ἡ Κωνσταντινούπολις ἐκεῖνον[3] μετὰ τῶν τοσούτων τροπαίων καὶ νικητηρίων· ἡμεῖς δὲ πρὸς τὸ ἡμέτερον κελλίον ἀφίγμεθα. Μετὰ δὲ χρόνον ἱκανὸν ἀπέστειλε τὸν ἄνθρωπον αὐτοῦ τὸν μοναχὸν Μεθόδιον πρὸς ἡμᾶς· εὑρὼν οὖν ἡμᾶς εἰς τὸν τόπον, ὃν διδώκασιν ἡμῖν ὅ τε μακαριώτατος καὶ εὐλαβέστατος μοναχὸς Στέφανος ὁ τηνικαῦτα κατὰ τὸ ὄρος πρωτεύων τοῦ Ἄθωνος καὶ οἱ λοιποὶ γέροντες, καθὼς εἰθισμένον αὐτοῖς ἐστι τὸν διακαρτεροῦντα ἐπὶ δυσὶν ἢ τρισὶν ἔτεσιν ἐν τῷ Ἁγίῳ Ὄρει καὶ προαιρούμενον ἡσυχάζειν λαμβάνειν τόπον μετὰ τῆς συμβουλίας αὐτῶν οὗ ἂν εὑρεθῇ, ἐνεχείρησεν ἡμῖν τὰ τοῦ βασιλέως γράμματα καὶ χρυσὸν, ποσὸν λυτρῶν ἕξ. Συνδιαγαγὼν ἡμῖν ἐν τῷ κελλίῳ ἡμῶν ὡσεὶ μῆνας ἕξ, πλειστάκις τε ἐνοχλήσας ὥστε συγκαταθέσθαι ἡμᾶς τῷ τοῦ βασιλέως βουλήματι, οὔπω τῆς βασιλείας ἐπειλημμένου, κτισθῆναι λαύραν, κατενεύσαμεν, καὶ, ἔτι παρόντος αὐτοῦ, ὁρμηθέντες κτίζειν, τὰ εἰς λόγον τοῦ βασιλέως κελλία συνετελέσαμεν, ἃ καὶ μέχρι νῦν διαμένουσιν. Ὑποσχομένων οὖν ἡμῶν καὶ τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν ἀπήει χαίρων ὁ ἄνθρωπος.

Εἴχομεθα τοίνυν τοῦ ἔργου[4]. Οὔπω δὲ παρεληλυθότος τετραμήνου ἀκηκόαμεν ἀνηγορεῦσθαι αὐτὸν βασιλέα, ἐγκρατῆ γενέσθαι τε τοῦ παλατίου· καὶ δὴ καταλείψαντός μου τὸ τῆς Ἐκκλησίας ἔργον ἡμιτελὲς καὶ τὴν βασιλίδα καταλαβόντος, πάλιν ὡς αὐτὸν ἀρικομένου τε, οἷσις εἰκὸς ἦν λόγοις ὀνειδιστικοῖς κατ' αὐτοῦ χρησάμενος ἔλεγον, ὡς δῆθεν ἄλλα διαλογιζομένου σου καὶ μελετῶντος,

3. τοῦ Νικηφόρου ἐπάνοδος καὶ τῆς Λαύρας καταβολή.

4. περὶ τῆς ἀναγορεύσεως Νικηφόρου καὶ τῆς πρὸς αὐτὸν ἀφίξεως τοῦ ἁγίου.

ὡς ἀπέδειξε τὰ πράγματα, ἄλλα διωρίζου ἡμῖν· καὶ εἶχον ἐν αἰτίαις τὸν εὐσεβέστατον βασιλέα εἰδὼς αὐτὸν πάντα ραδίως οἴστειν τὰ παρ' ἡμῶν λεγόμενα. Ὁ δέ μοι ἀνθυπέφερεν, ὅρκοις πληροφορῶν καὶ ὑπεραπολογούμενος ἐνστατικῶς, αὐτῆς τῆς βασιλείας καταφρονῆσαι καὶ τοῦ διαδήματος· ἄλλως τε δὲ καὶ τῆς γυναικὸς μηδεμίαν ἐπιστροφὴν ποιῆσαι· καὶ, καλοῦντος ἐπιτηδείου καιροῦ, διαδρᾶναι πάντα, ἃ νῦν ἐμποδὼν νομίζεται, καὶ πρὸς τὸ ἅγιον Ὄρος φοιτῆσαι, καὶ τὰς συνθήκας πληρῶσαι τὰς πρὸς τὸν Κύριον, μόνον λέγων· μὴ καθυφεὶς εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν ταύτην ἡμιτέλεστον καταλείψῃς. Βεβαίως οὖν ἅπας γινωσκέτω, πάντα λογισμὸν ἀπιστίας κατὰ τόπον ἀφεὶς, ὡς, εἰ μὴ Κύριος, οἷς χρίμασιν αὐτὸς μόνος ἐπίσταται, μαρτυρικῷ τέλει τὸν βίον αὐτὸν εὐδόκησεν ἀλλάξαι, ταῖς κατὰ Θεὸν ὑποσχέσεσι καὶ συνθήκαις δεξιὸν πέρας ἐπέθηκεν ἄν· ἀλλὰ πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, κατὰ τὴν τοῦ προφήτου φωνήν. Οὕτω δὴ τηνικαῦτα βεβαιωθέντες καὶ πεισθέντες τοῖς αὐτοῦ ῥήμασιν ἐπανήκομεν εἰς τὸ κελλίον ἡμῶν, καὶ πάλιν εἰχόμεθα τῆς περὶ τὴν Ἐκκλησίαν οἰκοδομῆς. Χρήματα τοίνυν καὶ παροχὰς ἀναλωμάτων καὶ δόσεις μισθῶν τοῖς εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν κεκοπιακόσιν ἐργάταις, ἔδωκε μὲν ἐκεῖνος, ἀλλὰ πρὸς ἅπερ ἡμεῖς καταβεβλήμεθα, τὰ τοῦ τρισμάκαρος βασιλέως ἥττονα φαίνεται· τὰ πλείω γὰρ καὶ παρὰ τῶν ἄλλων φιλοχρίστων, οἷά τις συνεισφορὰ καὶ συνεπιβολὴ καροποριάς εἰς τὴν τῆς Ἐκκλησίας συμπλήρωσιν τῇ ἡμῶν μετριότητι δέδοται· ὅσους δὲ κόπους καὶ συντριβὰς πεπόνθαμεν, καὶ πειρασμοὺς καὶ ταλαιπωρίας ὑπομεμενήκαμεν, καὶ ὅσοις ἐξόδων καταβεβλήμεθα εἴς τε λατομίας καὶ κατορύξεις καὶ χωμάτων καὶ λίθων ἐκφόρησιν καὶ φυτῶν καὶ θάμνων καὶ δένδρων προβέλυμνον ἐκτομὴν καὶ ἔκσπασιν, πρὸς τὸ δεῖμασθαι τὸν ἅγιον τῆς Ὑπεραγίας Θεοτό-

κου ναὸν, τήν τε τῆς Λαύρας ἅπασαν κατασκήνωσιν μακρὸν ἂν εἴη διεξελθεῖν ἢ κατὰ τὸν παρόντα καιρόν· ταῦτα γὰρ μόνος ἂν εἰδείη βεβαίως ὁ Κύριος, ὁ πάντα ραδίως ἐκ μὴ ὄντων παράγων εἰς ὕπαρξιν.

Ἔστι δὲ[5] καὶ ἄλλο τόπιον τῆς Λαύρας ἀπέχον ὡσεὶ μίλια ι΄ κρημνώδες καὶ ὑλῶδες καὶ αὐτὸ τετυχηκὸς, Μυλοπόταμος οὕτω προσαγορευόμενον, ὅπερ ἐκκαθάραντες καὶ καθομαλίσαντες τῆς ὑποκειμένης ὕλης καὶ τῶν πετρῶν, Ἐκκλησίαν τε καὶ κελλία κἀκεῖσε ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου δειμάμενοι ἐν τάξει τε καὶ χρήσει μετοχίου πεποιήκαμεν, ἀμπελῶνά τε ἐκεῖσε κατεφυτεύσαμεν, λόγῳ νάματος καὶ οἴνου μεταλήψεως ἕνεκα, τῶν τε διὰ τὸ τοῦ Κυρίου ὄνομα προσκαρτερούντων ἐν τῇ Λαύρᾳ ἀδελφῶν καὶ τῶν ἐπιδημούντων ξένων. Ἐχρῆν δὲ, κατὰ τὴν προσήκουσαν ἀρχαίαν τῶν πατέρων ἀκρίβειαν, ἀπερισπάστους εἶναι καὶ πραγμάτων ἐκτός· τὸ γὰρ ἀπερίσπαστον, ἀρρωντιστότερον· τὸ δὲ ἀρρόντιστον, ἀταραχώτερον· τὸ δὲ διὰ πάντων τούτων συναγόμενον παρεκτικὸν καταστάσεως τελεωτέρας καὶ μείζονος, πλὴν πολλαὶ τὴν ἡμῶν ταπείνωσιν αἰτίαι πρὸς τοῦτο ἐξεκαλέσαντο, τό τε τὴν τοῦ ὄρους παράλιον εἶναι κρημνώδη τε καὶ ἀλίμενον ἀφ' ἑκατέρων μερῶν τῶν τε προσαρκτίων καὶ τῶν πρὸς μεσημβρίαν μιλίων ἐπέκεινα ὀγδοήκοντα· δίκην γὰρ χερσονήσου τὸ ὄρος πρὸς τὸ πέλαγος σταυρικῷ σχήματι παρατείνεται, τῶν ἐν τῷ πελάγει νήσων Λήμνου τε καὶ Ἴμβρου, Θάσου καὶ τῶν λοιπῶν ἀπέχον πολλῷ τῷ διαστήματι, ὡς διὰ τοῦτο, χειμῶνος ἐπιγινομένου, μὴ δύνασθαι πλοῖον μήτε ἐκ τοῦ ὄρους πρὸς τὴν ἤπειρον ὥστε ἐμπορεύεσθαι τὸ τῶν ἀναγκαίων χρειῶδες μήτε πάλιν ἐκεῖθεν πρὸς τὸ ὄρος ἀφῖχθαι ἢ καθορμισθῆναι τὸ παράπαν, τῷ τὰς παραλίους ἑκατέρωθεν ἁλιμένους τυγχάνειν· ἄλλως τε δὲ διὰ τῆς

5. περὶ τοῦ Μυλοποτάμου.

ξηρᾶς τὰς ἰδίας χρείας συγκομίσασθαί τινα παντελῶς ἀμήχανον, τοῦτο μὲν διὰ τὸ τῆς ὁδοῦ μῆκος, τοῦτο δὲ διὰ τὸ εἶναι ζώοις τὸ ὄρος σχεδὸν ἀδιόδευτον· ἀπὸ γὰρ τῆς ἠπείρου μέχρι τῆς τοῦ ὄρους ἄκρας τῆς πρὸς ἥλιον ἀνίσχοντα, τῆς θαλάσσης πλεῖστον ἐγκολπουμένης, ἔνθα καὶ ἡ Λαύρα ἵδρυται, διάστημά ἐστι πλεῖον ἢ ἔλαττον μιλίων ἑκατόν. Τούτου ἕνεκα προήχθημεν ἀμπελῶνα καταφυτεῦσαι, διὰ τὸ τῆς χρείας ἀπαραίτητον, καὶ μάλιστα εἰς τὴν τῆς ἐκκλησίας καρποφορίαν· εἰ γὰρ καὶ δοίημεν ραδίαν τὴν ἐμπορίαν γενέσθαι, ὅπερ ἀμήχανον, ἄτιμον καὶ ἄτοπον τοῦτο καταστοχαζόμενοι λελογίσμεθα πέμπεσθαι τοὺς μοναχοὺς οἶνον ἐμπορεύεσθαι ἔν τε κώμαις καὶ πόλεσι, συνεχῶς τε ἐπιχωριάζειν τοῖς κοσμικοῖς, συναγελάζεσθαί τε καὶ συνδιαιτᾶσθαι αὐτοῖς, ἐντεῦθεν καὶ γυναιξὶν ἀδεῶς προσομιλεῖν καὶ τὴν ἀπὸ τῆς τούτων ἐντεύξεως βλάβην καὶ δυσωδίαν μηδαμῶς διαδιδράσκειν· εἰσὶ μὲν γὰρ ἀγροὺς ἐν τῷ ὄρει πολλοὺς καλλιεργήσαντες καὶ ἀμπελῶνας καταφυτεύσαντες, ἑτοίμους τε ἐξωνησάμενοι καὶ ἐπὶ φανερωτέρᾳ ὄψει καὶ βελτιώσει γενέσθαι τούτους σπουδάσαντες· ἀλλ' ἡμεῖς οὐκ ἐκείνους, μὴ γένοιτο, σχόντες παράδειγμα, τὸ τῶν πεμπομένων δὲ ἀδελφῶν ἐπὶ ταῖς διακονίαις συμφέρον ἀβλαβές τε καὶ ἄτρωτον ἴσα καὶ τῷ ἡμετέρῳ ποιούμενοι οὕτω ποιῆσαι προήγμεθα. Περὶ μὲν δὴ τούτων ἀρκούντως εἰρήσθω λοιπόν.

Ὁ δὲ μακάριος καὶ φιλόχριστος βασιλεὺς[6] ὁ ἀξίως τῇ φερωνύμῳ κλήσει πολιτευσάμενος, ἔτι περιὼν τὴν χρείαν τε καὶ διοίκησιν τῶν ἐν τῇ ἀνοικοδομηθείσῃ Λαύρᾳ προσεδρευόντων ἀδελφῶν, δι' εὐσεβοῦς αὐτοῦ χρυσοβουλλίου, προεμηθεύσατο, οὗ τινος τὴν τῆς περιοχῆς ἀναφορὰν, κυριότητά τε καὶ δεσποτείαν εἰς τὴν ἡμῶν ἀνήκειν μετριότητα καὶ εἰς τοὺς μεθ' ἡμᾶς διωρίσατο, καθὼς αὐταῖς λέ-

6. περὶ τῶν περιεχομένων τῷ χρυσοβουλλίῳ Νικηφόρου.

ξεσιν οὑτωσὶ περιέχει τὸ χρυσοβούλλιον. «Δεσπόζεσθαί τε μεθ' ἡμᾶς τὴν τοιαύτην Λαύραν παρὰ τοῦ εὐλαβεστάτου μοναχοῦ Ἀθανασίου διοριζόμεθα· πλὴν καὶ ἔτι ζώσης τῆς βασιλείας ἡμῶν βουλόμεθα τὸν αὐτὸν εὐλαβέστατον μοναχὸν Ἀθανάσιον καθηγούμενον εἶναι τῆς τοιαύτης Λαύρας καὶ τῶν πέριξ τῆς Λαύρας κελλίων τῶν ὀγδοήκοντα μοναχῶν ἀσάλευτον, διοικεῖσθαί τε παρ' αὐτοῦ πάντα, κατὰ τὸ τῷ Θεῷ φίλον, καὶ τῇ μοναδικῇ καταστάσει ἁρμόδιον· μετὰ δὲ τὴν αὐτοῦ τελευτήν, εἰ μὲν ἡ βασιλεία ἡμῶν καὶ ἔτι τῷ βίῳ περίεστι, τὸν ἐκ τῆς αὐτῆς Λαύρας καὶ τῶν ὑρ' αὐτὸν κελλίων διαφέροντα καὶ ὃν ἂν ὁ αὐτὸς εὐλαβέστατος μοναχὸς Ἀθανάσιος τελευτῶν ἐπιτρέψειεν, ἐκεῖνον καὶ πρὸς τὴν τῆς ἡγουμενείας ἀρχὴν ἐγκαθίστασθαι· ἐπειδὰν δὲ καὶ ἡμᾶς ὁ Θεὸς ἐκ τοῦδε τοῦ ματαίου βίου καλέσειε, καὶ τοῦ κοινοῦ καὶ ἡμεῖς ποτηρίου τοῦ θανάτου μετάσχωμεν, οὐδένα βουλόμεθα τῶν πάντων ἕτερον εἰς τὴν τοιαύτην Λαύραν καθηγούμενον προχειρίζεσθαι, ἀλλ' ὃν ἂν οἱ μοναχοὶ τῆς τε Λαύρας καὶ τῶν ὑπ' αὐτὴν κελλίων, συναθροιζόμενοί τε καὶ διασκοπούμενοι, ἀρετῇ τε ἴδωσι διαφέροντα καὶ ἐπιτηδείως πρὸς τοῦτο ἔχοντα ἐκεῖνον καὶ πρὸς τὴν ἡγουμενείαν ἐγκαθιστᾷν. Ξένης δὲ Λαύρας ἢ Μονῆς οὐδόλως παραδεχόμεθά τινα ἐν οἱῳδήποτε χρόνῳ ἡγούμενον ἐν αὐτῇ γενέσθαι, ἀλλ' οὐδὲ μετὰ τὸν θάνατον ἐξεῖναί τινι βουλόμεθα ταύτην κοσμικῷ ἢ ἐκκλησιαστικῷ προσώπῳ ἢ καὶ μοναχικῷ δωρεῖσθαι ἢ ὑφ' ἑτέραν ποιεῖσθαι Μονήν, ἀλλ' οὕτως ἐλευθέραν εἶναι καὶ αὐτοδέσποτον, κατὰ τὴν ἡμετέραν γνώμην τε καὶ διάταξιν».

Ταῦτα ἡ θαυμασία καὶ ἄληπτος ἐκείνη ψυχὴ διωρίσατο, τῆς ἡμετέρας γνώμης οὐκ ἄποθεν· μηδεὶς οὖν οἰέσθω βουλῆς ἄνευ, εἰδήσεώς τε καὶ γνώμης ἡμετέρας, λέξιν ψιλὴν ἐν τῷ χρυσοβούλλίῳ περιέχεσθαι, ἀλλ' ὡς ἂν ἡμεῖς αὐτῷ ὑπεθέμεθα. Ἐπεὶ οὖν, κατὰ τὴν τοῦ χρυσοβούλλίου

διάληψιν, ἔτι ζῶντος αὐτοῦ, πάντα εἰς τὴν ἡμῶν ἀνατέθεικε γνώμην, κατὰ τὸ ἡμῖν αἱρετὸν, τῶν πραγμάτων ἀντέχεσθαι, διατίθεσθαί τε καὶ διατάσσεσθαι περὶ τὴν τοιαύτην εὐαγεστάτην Λαύραν, κυριότητί τε καὶ ἐξουσίᾳ ἥπερ βουλοίμεθα κεχρῆσθαι, κανονίζειν τε καὶ τυποῦν καὶ ρυθμίζειν καὶ ὅσα τῇ μοναδικῇ καταστάσει λυσιτελεῖ, κατὰ τὸ δυνατὸν ἡμῖν, διανοεῖσθαί τε καὶ διαπράττεσθαι, ῥᾴδιον ἦν νοεῖν ὡς, μετὰ τὸ ἀποβιῶναι τοῦτον τὸν μακάριον, πολλῷ πλέον ἐπ' ἀδείας τε καὶ ἐξουσίας ἡμῖν ἦν, ἅ τε τῶν πραγμάτων ἡμῖν ἐξηρτημένων, τυποῦν τε καὶ κανονίζειν, καὶ μεθ' ἡμᾶς καταλιμπάνειν, τὸν βίον ἀλλάσσοντας, ὃν ἂν ὁ Θεὸς εὐδοκήσειεν, ἡμᾶς τε πληροφορήσειεν ἄξιον εἶναι τῆς τοιαύτης ποιμαντικῆς λειτουργίας. Ἐγὼ μὲν εὐχόμην ἔτι περιεῖναι τῷ βίῳ τὸν ἄνδρα, μή τι γε μόνον ἡμῶν εἰς κοινὸν δὲ τοῦ κόσμου παντὸς ὄρελος καὶ προστασίαν ἀκαταγώνιστον, τά τε ἡμέτερα καὶ τὰ τῆς Λαύρας καταλιπεῖν αὐτῷ, ὡς ἂν ὑπὸ τῆς βαθείας ἐκείνης καὶ συνετῆς φρενὸς ἄμεινον διωκήθησάν τε καὶ ἐνετάλθησαν· ἐπεὶ δὲ τοῦτο οὐκ ἐξεγένετο, καθὼς εὐχόμην τῆς ἐπιθυμίας ἐπιτεύξασθαι, ἀλλὰ, κατὰ τὸ δόξαν τῇ θείᾳ προνοίᾳ, παρὰ τὴν ἡμετέραν προσδοκίαν τε καὶ διάληψιν, ἐκεῖνον μὲν οἷς κρίμασιν ἀκαταλήπτοις ἐπίσταται, ἀπὸ τῶν τῇδε πρὸς ἀκύμονα καὶ τελεωτέραν ζωὴν μετατάξασθαι προμηθευσαμένη καὶ τὴν τῶν οὐρανῶν ἀκήρατον καὶ μόνιμον βασιλείαν αὐτῷ τῶν πολλῶν καὶ μεγάλων καμάτων ἀξίαν ἀμοιβὴν δωρησαμένη, ἡμεῖς δὲ τῷ ταλαιπώρῳ καὶ πικροτάτῳ βίῳ τούτῳ καὶ μυρίων σκοπέλων γέμοντι τέως παροικεῖν ἀφείθημεν, ἐντελλόμεθα μετὰ κατακρίσεων τῷ μέλλοντι μεθ' ἡμᾶς αἱρεθῆναι καθηγουμένῳ[7] ὁμοῦ μὲν παρεγγυώμενοι, ὁμοῦ δὲ καὶ προσεπισκήπτοντες δεσμὸν ἔχειν ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου, ἀχράν-

7. διάταξις περὶ ἡγουμένων προχειρήσεως.

του τε καὶ ζωαρχικῆς τριάδος καὶ ἐκ τῆς ἡμῶν μετριότητος, ἵν' ὅταν μέλλῃ τῆς ἐπικήρου ταύτης ζωῆς τῆς μηδὲν στάσιμον ἢ βέβαιον ἐχούσης μεθίστασθαι, καταλιμπάνῃ διάδοχον καὶ αὐτὸς μετ' αὐτὸν εἰς τὴν τῆς ἡγουμενίας ἀρχὴν ἐκεῖνον, ὃν παρὰ τοῦ Θεοῦ πληροφορηθείη καταλλήλως πρὸς τὸ πρᾶγμα καὶ προσφυῶς ἔχοντα, ὃν καὶ τῶν ἰδίων ἀρετῶν τὸ φῶς διάδηλον διαδείκνυσιν, εἰδήσει μέν τοι καὶ γνώμῃ τῶν προκριτωτέρων ἀδελφῶν καὶ εὐλαβεστέρων. Καὶ γὰρ δὴ καὶ αὐτὸς ἐγὼ ὁ πάντων ἔχων τὴν κυριότητα, καὶ οὗ τῷ λόγῳ ἀνθέστηκεν οὐδὲ εἷς, οὐ τῆς τῶν ἀδελφῶν γνώμης χωρὶς τὸν ἐμὸν βούλομαι καταλελοιπέναι διάδοχον· εἰ δέ τις ἐν τῇ τοῦ καθησομένου αἱρέσει, δαιμονιώδει φρονήματι ἀπατώμενος, καὶ ἰδίῳ θελήματι ἀπαγόμενος, ἕτερον ἐπιζητεῖ παρ' ὃν ὁ προεστὼς καὶ πᾶσα ἡ τῶν προκριτωτέρων ἀδελφῶν λογὰς ἐκκρίνει καὶ ἐπιλέξεται, καὶ στάσεις ἐν τούτῳ καὶ παρασυναγωγὰς καὶ φατρίας καὶ σχίσματα ποιούμενος φωραθείη, διωκέσθω καὶ ἀποτεμνέσθω, ὡς νενοσηκὸς μέλος τῆς ἀδελφότητος καὶ ὡς μὴ κατὰ Θεὸν τούτοις συζῶν, μηδὲ τὴν προκοπὴν αὐτῶν καὶ ὠφέλειαν καὶ τὸ συμφέρον ἐπιζητῶν. Εἰ δέ γε συμβαίη, οἷα εἰκός, μὴ ἐν τῇ Λαύρᾳ τὸν καθηγούμενον τελευτῆσαι, τότε δὴ συνελεύσει καὶ διασκοπήσει καὶ ψήφῳ καὶ κρίσει τῶν εὐλαβεστέρων καὶ προεχόντων, ὡς εἴρηται, ἀδελφῶν, οὐδὲ γὰρ τοῖς πᾶσιν ἁπλῶς τὴν τοιαύτην κρίσιν καὶ ἐξουσίαν ἀφίεμεν· ἐπισκήπτομεν καὶ διοριζόμεθα τὴν τοῦ καθηγουμένου γίνεσθαι ἐκλογὴν ἐξ αὐτῆς δηλονότι τῆς ἀδελφότητος καὶ οὐκ ἀπὸ ξένης φοιτήσαντος καὶ πλασθέντος αὐθημερὸν, αὐτοσχεδίου τὴν ἀρχὴν καὶ μηδὲν ἐπικομιζομένου τοῖς ἀδελφοῖς ἀρετῆς ἐφόδιον ἢ τὸ βούλεσθαι πρῶτον αὐτοῖς ψηφισθήσεσθαι· οὗ τὴν διαγωγὴν οὐκ ἴσασι· καὶ γὰρ δὴ καὶ τοῦτο ὁ τῶν ἀδελφῶν ἱερὸς σύλλογος ἵστω ὡς δεῖν ὡήθημεν ξένον ἀπὸ Μονῆς ἑτέρας ἐληλυθότα μὴ τῆς ἀρχῆς ἐπιβαίνειν αὐτο-

σχεδίως· τὸ γὰρ ἐν τῷ χρυσοβουλλίῳ διαγορεῦον οὑτωσὶ κεφάλαιον «οὐδένα βουλόμεθα εἰς τὴν τοιαύτην Λαύραν » καθηγούμενον προχειρίζεσθαι, ἀλλ' ὃν ἂν οἱ μοναχοὶ τῆς » Λαύρας διασκοπούμενοι ἀρετῇ τε ἴδωσι διαφέροντα καὶ » ἐπιτηδείως πρὸς τοῦτο ἔχοντα, ἐκεῖνον καὶ εἰς τὴν ἡγου» μενίαν ἐγκαθιστᾷν», δι' οὐδὲν ἕτερον συμβεβουλεύκαμεν ἐκδεδόσθαι παρὰ τοῦ τρισμάκαρος βασιλέως, ἢ διὰ τὸ μὴ τὴν Λαύραν ὑπό τινος ἑτέρου προσώπου ὑποπεσεῖν· μήτε πατριάρχου, μήτε . . . . . ** μήτέ τινος ἄλλου προσώπου παραδυναστεύοντος, εἴτε ἡγούμενον προχειρίζεσθαι, ἀλλ' εἶναι αὐτὴν αὐτοδέσποτον καὶ αὐτεξούσιον, ὡς ἔφαμεν· εἰ γὰρ ἀφείθη τοῦτο τὸ παρά τινος ξένου προσώπου προχειρίζεσθαι ἡγούμενον, ὑπὸ τὴν ἐκείνου ἂν ἐτέλεσεν ἐξουσίαν ἡ Λαύρα· ἀλλὰ τὸ ἔχειν ἐξουσίαν τὸν κατὰ τὴν ἡμέραν ἡγούμενον, ἐκδημοῦντα τοῦ βίου, κατὰ διαδοχὴν καταλιμπάνειν διάδοχον αὐτοῦ τῶν ἀδελφῶν προστησόμενον, κατὰ τὴν ἡμετέραν κρίσιν τε καὶ διάταξιν, ἱκανώτατον καὶ ἐπιτηδειότατον, διὰ τοῦτο προνενοήμεθα. Εἰ δέ γε συμβαίη, τελευτῶντος τοῦ καθηγουμένου, μὴ πληροφορεῖσθαι εἴς τινα ὃν ἂν διάδοχον αὐτοῦ καταλίποι, τότε δὴ, συνελεύσει καὶ διασκοπήσει καὶ κρίσει τῶν μοναχῶν διοριζόμεθα τὴν τοῦ καθηγουμένου γίνεσθαι ἐκλογὴν, ἐξ αὐτῆς δηλονότι τῆς ἀδελφότητος καὶ οὐκ ἀπὸ ξένης φοιτήσαντος καὶ πλασθέντος αὐθημερὸν, αὐτοσχεδίου τὴν ἀρχὴν καὶ μηδὲν ἐπικομιζομένου τοῖς ἀδελφοῖς ἀρετῆς ἐφόδιον ἢ τὸ βούλεσθαι πρῶτον αὐτοῖς ψηφισθήσεσθαι, οὗ τὴν διαγωγὴν οὐκ ἴσασι· καὶ γὰρ δὴ καὶ αὐτὸς εἴπερ ἐν ἀπορίᾳ γενοίμην τοῦ διάδοχον εὑρέσθαι καὶ καταλιπεῖν, ὥστε κατὰ τὴν ἐμὴν θέλησιν ποιμαίνειν τοὺς ἀδελφοὺς, ἐν

---

* χείρ τις ἐσημείωσεν ἐν τῷ ὤᾳ τῆς σελίδος «μὴ ὑποπεσεῖν δηλονότι κατὰ τὰ ἐπιβάλλοντα αὐτῆς μόνα δίκαια».

** ἐξίτηλος λέξις.

τῇ τῶν μοναχῶν κρίσει καὶ ψήφῳ μέλλω καταλιμπάνειν τὴν τοῦ προεστῶτος ἐκλογήν. Καὶ τοῦτο περιέχεται ἐν τῷ χρυσοβούλλῳ: ὡς ὅτι ξένης Λαύρας ἢ Μονῆς οὐδόλως παραδεχόμεθά τινα ἐν οἱῳδήποτε χρόνῳ καθηγούμενον γενέσθαι, ξένον δὲ ἐκεῖνον ἴσμεν, καὶ προσυπομνήσαντες τῷ ἀοιδίμῳ καὶ ἁγίῳ βασιλεῖ ἀνεθέμεθα σημανθῆναι τῷ χρυσοβουλλίῳ, διὰ μεῖζονα ἀσφάλειαν, τὸν, ὡς ἀνωτέρω δεδήλωται, μὴ τῷ τῆς Λαύρας τόπῳ προσεδρεύσαντα, μήτε τοῖς ἀδελφοῖς συνδιαπρέψαντα, μήτε τοῖς πνευματικοῖς ἀγῶσι συνασκηθέντα καὶ συμμελετήσαντα, κἂν ταῖς ἀκολουθίαις καὶ στάσεσι καὶ τύποις καὶ καθίσμασι μὴ τῆς καρτερίας τὸ εὔτονον ἐπιδείξαντα, νεωστὶ ἐληλυθότα καὶ αὐθημερόν, κατὰ τὴν τῶν γιγάντων τερατώδη μυθοποιίαν, ἀρχηγὸν διά τινος ἄλλης προστασίας ξένης καὶ τῆς τυχούσης πλαττόμενόν τε καὶ σχεδιαζόμενον. Ἀλλὰ γὰρ τοῦτο διωρίσθαι ἡμῖν συνοῖσον ἔδοξε· τὸν προσκαρτερήσαντα τῇ Μονῇ καὶ συναναστραφέντα τοῖς ἀδελφοῖς μέχρι τριῶν ἢ καὶ δύο ἐτῶν, εἴ γε ἄρα καὶ παρά τινος ἄλλης Μονῆς ἐφοίτησε, τὸν τοιοῦτον γὰρ οὐ φημι ξένον ἀλλὰ τέκνον ἥγημαι καὶ σῶμα τῆς Ἐκκλησίας καὶ μέλος τῆς κατ' ἐμὲ ἀδελφότητος· καὶ κατὰ μηδὲν διαφέροντα τῆς ἐμῆς κουρᾶς, ἀλλ' ἴσους αὐτοὺς εἶναι ταύτῃ, κατὰ πάντα τρόπον φιλοτιμίας καὶ γνησιότητος, καὶ μάλιστα τοὺς καταλιπόντας τὰς ἑαυτῶν Μονὰς καὶ πάντα τὰ κατ' αὐτοὺς εἰς τὴν ἡμῶν μετριότητα ἀνατεθεικότας· τοὺς γὰρ τοιούτους καὶ υἱοὺς καὶ κληρονόμους καὶ σπλάγχνα τῆς καρδίας μου λελόγισμαι εἶναι καὶ καταλιμπάνω μετὰ πάσης τῆς ἀδελφότητος. Παρεγγυῶμαι οὖν πᾶσι τοῖς κατὰ διαδοχὴν ἔσεσθαι μέλλουσι καθηγουμένοις, δεσμοῖς ἐπιτιμίων ἀσφαλιζόμενος καὶ ὁρκίζων, κατὰ τὸν τοῦ Θεοῦ φρικωδέστατον φόβον, μηδεμίαν διαφορὰν ἔχειν αὐτοὺς παρὰ τοὺς ἐν τῇ Λαύρᾳ παρ' ἡμῶν δεξαμένους τὸ σχῆμα τὸ ἅγιον, μᾶλλον μὲν οὖν, εἴ γε

κατ' ἀρετὴν διαφέρωσι, σχετικώτερον διακεῖσθαι πρὸς αὐτοὺς καὶ παραμυθίας ἀξιοῦν προσηκούσης, καταλλήλως τῆς αὐτῶν ἀρετῆς, ἀναλόγως τε τῇ αὐτῶν εὐλαβείᾳ, καὶ προτιμητέους λογίζεσθαι καὶ εἶναι αὐτούς. Καὶ τοῦτο δὲ ἐντέλλομαι ὑμῖν· ὡς εἴ τις εὑρεθείη ἐκ τῶν τοιούτων, λέγω δὴ τῶν ἀπὸ ξένης περοιτηκότων, διαπρέψας ἐν τῇ Μονῇ, ἱκανός τε καὶ ἐπιτήδειος, καὶ ἄξιος τῆς τῶν ἀδελφῶν ἐπιστασίας ἀναφανῇ ἀκωλύτως καὶ ἀνενδοιάστως ἐπιστατείτω, παρὰ τοῦ μέλλοντος τελευτᾷν καθηγουμένου κατὰ διαδοχὴν μαρτυρούμενός τε καὶ καταλιμπανόμενος, ἀλλὰ γὰρ καὶ παρὰ τῶν τῆς Λαύρας ἀδελφῶν ὁ τοιοῦτος ἐκλεγέσθω· καὶ γὰρ οὐδὲν ἐναντιοῦται ἢ λυμαίνεται ἡ παροῦσα διάταξις τῇ τοῦ εὐσεβοῦς χρυσοβουλλίου διαταγῇ, κἂν δοκεῖ διαφωνεῖν, ἀλλὰ καὶ πάνυ συνᾴδει, καθὼς ἤδη μικρῷ πρόσθεν διηγόρευται· ὡς ξένον ἐκεῖνον ὠνόμασε τὸν ἐκ τοῦ παραχρῆμα πρὸς ἡγουμενίαν τῆς Λαύρας ἀπὸ ξένης Μονῆς αὐτομόλως ἐπιδημήσαντα, ἢ τὸν διὰ χειρὸς δυνατῆς ἐπεισφρῆσαι μέλλοντα πρὸς τὴν τῆς Λαύρας δεσποτείαν· οὐδὲ γὰρ οὐδὲ παρὰ τῶν ἀδελφῶν βουλόμεθα τοιοῦτον αἱρεθῆναί ποτε ἢ ζητηθῆναι τὸν μὴ τέως κἂν ἕνα χρόνον, τὸ βραχύτατον, συνδιαιτηθέντα καὶ συνδιαγαγόντα αὐτοῖς. Ταῦτα διεξιέναι προήχθημεν ἵνα καὶ τὸν τοῦ εὐσεβεστάτου καὶ ἁγιωτάτου βασιλέως σκοπὸν πᾶσιν εὐσύνοπτον τοῖς ἐντυγχάνειν ἐθέλουσι τῇ παρούσῃ διαθήκῃ ποιήσωμεν, καὶ τὴν ἡμετέραν γνώμην φανερὰν καταστῆσαι πρὸς ὅ,τι τὸν ἀγῶνα ἐσχήκαμεν. Ἦν δὲ ὡς ἀληθῶς ἴσῃ σπουδὴ καὶ φροντὶς ἀμφοτέροις τὸ μὴ δεσποτείᾳ τινὸς ἀσυντελοῦς προσώπου, παρὰ τὸ προσῆκον, ὑποπεσεῖν τὴν ἐκκλησίαν.

Ἐπὶ τούτοις πᾶσι παρεγγυῶμαι[8] καὶ διορίζομαι πάλιν

8. ὅτι οὐ δεῖ καταυθαδιάζεσθαι ἢ κατεπαίρεσθαι τῶν ἀπὸ ξένης μοναχῶν, τοῖς τῆς Λαύρας μοναχοῖς συγκαταλεγέντων.

τῷ προεστῶτι καὶ τοῖς ἀδελφοῖς ἅπασιν, ἀπὸ μείζονος ἕως ἐσχάτου αὐτῶν, καὶ ἐπιτιμῶ αὐτοῖς ἀπὸ Κυρίου Θεοῦ Παντοκράτορος καὶ τῆς Ὑπεραγίας ἀληθῶς Θεοτόκου, τὸ μὴ καταυθαδιάζεσθαι ἢ κατεπαίρεσθαι, καθ' οἱανδήποτε πρόφασιν, τῶν ἐκ διαφόρων Μονῶν διὰ τὴν τοῦ Θεοῦ καὶ τὴν ἡμῶν ἀγάπην πρὸς ἡμᾶς φοιτησάντων καὶ τῷ συλλόγῳ τῶν ἀδελφῶν συναριθμηθέντων καὶ καταλεγέντων, ἢ ξενοκούρους ὀνειδίζειν ἢ παρορᾶν, οἷα πολλάκις ἀκοῇ παρειλήφαμεν ὡς ἔν τισι κοινοβίοις παρ' ἀστηρίκτων ἀνθρώπων καὶ μὴ φοβουμένων τὸν Κύριον, φασὶ ταῦτα καὶ προσονειδίζεσθαι : ὁ δεῖνα ξένης Μονῆς ἐστι κουρὰ καὶ διὰ τοῦτο περιφρονητέος : ὁ δεῖνα τῆς Μονῆς τῆς ἡμετέρας καὶ διὰ τοῦτο προτιμητέος· τοῦτο εἴ τις φωραθείη ποιεῖσθαι εἰς τὴν καθ' ἡμᾶς Λαύραν, μετὰ τὴν ἡμετέραν ἀποβίωσιν, ἵνα ἔχῃ τὴν ἐπιτιμίαν, ἣν ἐθέμεθα ἀπὸ Κυρίου Θεοῦ Παντοκράτορος, ἔχῃ τε διάδικον τὴν Ὑπεραγίαν Θεοτόκον καὶ τὴν ἡμῶν ταπείνωσιν ἐν ἡμέρᾳ κρίσεως· τοῦτο γὰρ ἡμεῖς τὸ ψυχικὸν νόσημα νόσου λοιμικῆς χαλεπώτερον ἡγούμεθα. Ἀλλὰ γὰρ τί χρὴ καλεῖν τοῦτο νόσον ; αἵρεσιν καὶ τῶν αἱρέσεων τὴν χαλεπωτάτην· τὸ γὰρ τέμνειν καὶ διάφορον ἡγεῖσθαι τὸ σχῆμα τῶν μοναχῶν αἱρέσεως χαλεπώτερον· ἀλλοφύλου γὰρ μὴ τυγχάνοντος, μὴ ἑτεροδόξου· τῆς ψυχῆς τούτου κἀκείνου κατὰ δημιουργίαν καὶ δεσποτείαν θεικὴν μηδὲν διαφερούσης· τοῦ δόγματος ἀμφοτέρων ὑγιοῦς ὄντος, τοῦ ἑνὸς Χριστοῦ καὶ Θεοῦ καὶ δεσπότου ἀμφοτέρων τυγχανόντων· καὶ τῆς Ἐκκλησίας αὐτοῦ καὶ κυρίας τῆς τε γῆς καὶ τοῦ πληρώματος αὐτῆς ὑφ' ἕνα τελούσης δεσπότην καὶ Κύριον, κατὰ τὸν εἰπόντα ἅγιον, τί διενήνοχεν οὗτος ἐκείνου, ὅσον κατὰ τὴν ἐν τόπῳ τοῦ ἐπαγγέλματος καὶ σχήματος ἀναλῆψιν ; οὐδὲν ἄρα διοίσει ὁ ἕτερος τοῦ ἑτέρου ἵνα ὁ μὲν ἐσώκουρος ὁ δὲ ἐξώκουρος καλοῖτο. Παρ' ἡμῖν ἡ τοῦ θελήματος ἐκκοπὴ ζητεῖται, καὶ τοῦτό ἐστι περισπούδαστον· καὶ τὸ τῆς ἀρε-

τῆς ἐπιμελεῖσθαι, καὶ τὸ συνιέναι ὅτι εἰς πένθος ἀλλ' οὐκ εἰς χαρμονὴν ἐκλήθημεν, καὶ τὸ μὴ ὄπισθεν ἕκαστον τῶν ἐπιθυμιῶν αὐτοῦ πορεύεσθαι· ἐπείπερ, ἂν ἐπέκεινα Γαδήρων ἦν ἐνδεχόμενον Μονὰς εἶναί τινας, εἶτά τινες ἐκεῖθεν πρὸς ἡμᾶς φοιτήσαντες συγκαταλέχθαι τοῖς ἀδελφοῖς προήρηντο, ξένους αὐτοὺς οὐκ ἂν ὠνομάσαμεν· ἀλλὰ γὰρ καὶ ξένην Μονὴν εὐλαβοῦμαι κατονομάζεσθαι, τὸ γὰρ ξένην εἰπεῖν τοῦ Θεοῦ χωρίζειν ὑπείληφα· καὶ γὰρ εἴ τι δικαίωμα μέγιστον ἦν ᾧ τινες ἐπισχυρίζονται, χωρὶς ἄλλου τινὸς κατορθώματος ἢ βελτίστου πλεονεκτήματος, ἡ τῆς ψαλίδος δόσις, πάντες ἠρκοῦντο τούτῳ καὶ κόπου τινὸς ἄλλου χρεία οὐδαμῶς καθεστήκει· οὔτε τοίνυν ὃν ἐγὼ αὐτὸς ἀπέκειρα ἀμελῆ καὶ ῥάθυμον καὶ ἀδιάφορον γενόμενον ἀποδέχομαι, καὶ τὸν ἀλλαχόθεν ἐληλυθότα τὸ μοναδικὸν ἡμφιεσμένον σχῆμα προσίεμαι· καὶ μάλιστα παντοίαις ἀρετῶν κοσμούμενον καλλοναῖς· οὗτος γὰρ ἐμοί, κατὰ τὸ ἀνάπαλιν, γνήσιος υἱὸς καὶ κληρονόμος καὶ τέκνον τῆς Ἐκκλησίας, ὁ δέ γε τῇ τῆς ψαλίδος ἐπιδόσει καὶ τῇ τῶν τριχῶν ἀποθέσει, χωρὶς ἀρετῶν, κατὰ τὸν τόπον, ἐπερειδόμενος ξένος ἐμοί καὶ πάντῃ ἀλλότριος καὶ τῆς Ἐκκλησίας ἐχθρός· εἰ γὰρ ἑνὸς Χριστοῦ ἐσμὲν ἅπαντες, ὥσπερ οὖν καὶ ἐσμέν, τῇ αὐτοῦ χάριτι, καὶ μητρὸς μιᾶς τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τῆς πίστεως τῆς αὐτῆς καὶ ἑνὸς ἐπαγγέλματος, μὴ ἔριδες ἔστωσαν ἐν ὑμῖν μηδὲ καλείσθω ὁ μὲν ξένος, ὁ δὲ οἰκειότατος. Μόνη δὲ ἡ ἀρετὴ προτιμητέα· ἐντέλλομαι οὖν τῷ προεστῶτι καὶ τοῖς τὰ πρῶτα φέρουσιν ἀδελφοῖς μου καὶ τέκνοις καὶ πατράσιν ὥστε σημειοῦσθαι τὸν οὕτως ἀφυλάκτως ἔχοντα πρὸς τὰ τῶν ἀδελφῶν τοιαῦτα ὀνείδη, καὶ εἰ μὲν κατὰ συναρπαγὴν ἢ καί τινα μικροψυχίαν συναπαχθεὶς ταῖς ἰδίαις ἀπαιδευσίαις, τὸν ἀδελφὸν ξενόκουρον ὠνείδισεν, ἀφοριζέσθω τῆς Ἐκκλησίας, ἐπὶ τρισὶν ἑβδομάσιν ἀπεχόμενος δηλονότι τῶν ἁγιασμάτων, μηδὲ συνεισιέναι καὶ κοινῆς

τραπέζης μεταλαμβάνειν τοῖς ἀδελφοῖς, ἀλλ' ἰδίᾳ, οἴνου καὶ ἐλαίου χωρὶς, διαιτᾶσθαι καὶ μετανοεῖν, καὶ εἰ μὲν διωρθώσειεν ἑαυτὸν, ὥστε γλώσσῃ μὲν σιωπῆς χαλινὸν, στόματι δὲ χεῖρα προσεπιθεῖναι, χάρις τῷ Θεῷ· εἰ δέ γε φωραθείη πάλιν ταῦτα καὶ καταφρονεῖν καὶ προσονειδίζειν, τέλεον ἐκδιώκεσθαι τῆς Λαύρας καὶ ἀποτέμνεσθαι, ὡς σεσηπὸς καὶ ἀπερρωγὸς μέλος τοῦ σώματος τῆς Ἐκκλησίας, ἵνα μὴ καὶ ἑτέροις μεταδώῃ τῆς λύμης καὶ τῆς φθορᾶς αὐτοῦ.

Εἰσηγητέον δὲ λοιπὸν τῷ μεθ' ἡμᾶς προστησομένῳ[9] τῆς ἀδελφότητος περὶ ὧν αὐτὸν φυλάσσειν καὶ πράσσειν ἐπάνεγκες. Οὐ διαλλάξεις ὃν παρέλαβες τύπον καὶ κανόνα παρὰ τῆς ταπεινώσεώς μου ἐν ἅπασιν, ἄνευ κατεπειγούσης ἀνάγκης, οὔτε δὲ κτήσῃ τοῦ κόσμου τούτου τι, οὐδὲ ἀποθησαυρίσεις ἰδιορίστως εἰς ἑαυτὸν, μέχρι καὶ ἑνὸς ἀργυρίου. Οὐ διαμερίσεις τὴν ψυχὴν καὶ τὴν καρδίαν σου ἐν σχέσει καὶ φροντίδι παρὰ τοὺς ὑπὸ Θεοῦ πεπιστευμένους σου πνευματικοὺς υἱοὺς καὶ ἀδελφοὺς, οὐδὲ εἰς αὐτοὺς τοὺς κατὰ σάρκα ἰδίους ἢ συγγενεῖς ἢ φίλους ἢ συνεταίρους. Οὐ χρήσῃ τοῖς τῆς οἰκείας σου Μονῆς οὔτε ζῶν οὔτε μετὰ θάνατον ἐλεημονητικῶς ἢ κληρονομικῶς εἰς τοὺς ἤδη προειρημένους· οὐ γὰρ ἐκ τοῦ κόσμου εἰ ἵνα μετέχῃς τῶν ἐκ τοῦ κόσμου, πλὴν εἰ μή που μεταβοιέν τινες ἐκ τοῦ κοινοῦ βίου εἰς τὸ καθ' ἡμᾶς τάγμα· καὶ οὕτω φροντίσεις, κατὰ μίμησιν τῶν ἁγίων πατέρων. Οὐ κτήσῃ δοῦλον οὔτε εἰς οἰκείαν χρείαν οὔτε εἰς ἣν ἐνεπιστεύθης Μονὴν τὸν κατ' εἰκόνα Θεοῦ γεγονότα ἄνθρωπον· τούτῳ γὰρ μόνοις τοῖς ἐν τῷ βίῳ συγκεχώρηται, ὡς ὁ γάμος. Οὐ σχοίης ζῶον τῶν ἐκ τοῦ θήλεος γένους εἰς χρείαν ὑπουργικὴν ὁ τῷ θήλει παντάπασιν ἀποταξάμενος. Παραφυλάξεις πάντως τὸ πάντα τὰ ἐν τῇ ἀδελφότητι κοινὰ εἶναι καὶ

9. παραίνεσις εἰς τὸν ἡγούμενον περὶ ὧν δεῖ φυλάττειν.

ἀμέριστα καὶ μηδὲν κατὰ μέρος τοῦ καθ' ἕκαστον εἰς ἐξαυθέντησιν μέχρι καὶ ῥαφίδος· σοῦ δὲ τὸ σῶμα καὶ ἡ ψυχὴ, μή τί γε ἄλλο, ἔστωσαν διαμεμερισμένα ἐν ἰσότητι ἀγάπης, πᾶσι τοῖς πνευματικοῖς σου τέκνοις καὶ ἀδελφοῖς καὶ πατράσιν. Οὐ σχοίης μετὰ κοσμικῶν ἀδελφοποιίας ἢ συντεκνίας ὁ φυγὰς τοῦ κόσμου καὶ τοῦ γάμου. Οὐ κρατήσεις τόπον ἠσφαλισμένον καὶ τὴν οἰκονομικὴν φροντίδα, ἀλλ' ἔστω σοι κλεὶς ἡ μεγίστη τῶν ψυχῶν φροντὶς, τοῦ δεσμεῖν καὶ λύειν, κατὰ τὰ λόγια. Τὸ χρυσίον δὲ καὶ κατὰ χρείαν ἐγχειρίσεις τοῖς οἰκονόμοις, τοῖς κελλαρίταις, καὶ ὡς ἐπιβάλλει καθ' ἑκάστην διακονίαν τοῦ προδήλως πάντων τὴν ἐξουσίαν ἔχοντος καὶ μεταφέροντος, ὡς ἂν βουλεύει μετὰ τῶν προεχόντων ἐν τῷ τυχόντι προσώπῳ ἀπολαμβάνων τὸν λόγον ἑκάστης διοικήσεως. Οὐ κτήσῃ ἱματισμὸν ἐξηλλαγμένον καὶ πολύτιμον ἀλλὰ τοῖς ταπεινοῖς, πατρομιμήτως, καὶ ἐνδύσῃ καὶ ὑποδήσῃ. Οὐκ ἔσῃ ἀβροδίαιτος οὔτε ἐν τῇ οἰκείᾳ σου δαπάνῃ, οὔτε ἐν ταῖς ὑποδοχαῖς τῶν ξένων, ὡς κατὰ τοῦτο περισπώμενος· ἔστι γὰρ τῆς μερίδος τῶν ἀπολαυστικῶν τοῦ παρόντος βίου. Οὐ σχοίης τὸ πολυπρόοδον καὶ πολυγύρευτον ἄνευ ἀνάγκης ἐγκαταλιμπάνων τὸ οἰκεῖον ποίμνιον· ἀγαπητὸν γὰρ καὶ σχολάζοντα ἐν τῇ ποίμνῃ δυνηθῆναι διασῶσαι τὰ πολυτροπώτατα καὶ πολυδιεξόδευτα λογικὰ πρόβατα· οὔτε δὲ τοῖς ὑπὸ σὲ ἀδελφοῖς παραχωρήσεις ἀβασανίστως ἀπέρχεσθαι ὁπουδήποτε· καὶ μάλιστα ἐν ταῖς χειμεριναῖς ἡμέραις, ὁπηνίκα οὐδὲ βουλομένοις ἐξέσται διὰ τὸ δύσπλοον ὑποστρέφεσθαι· εἰδὼς ὡς ἡ ἔξω τοῦ κελλίου διατριβὴ καὶ τὸ μετὰ τῶν κοσμικῶν χρονίζειν θάνατον αἰώνιον κατὰ τὸν μέγαν Ἀντώνιον πέφυκεν ἀποτίκτειν. Οὐ καταλείψεις τὸ ποίμνιόν σου καὶ εἰς ἕτερον μετάβοις ἢ πρὸς μείζονα ἀξίαν ἐπαναδράμοις. Οὐ ποιήσεις σεαυτῷ καταγώγιον ἢ τοῖς πνευματικοῖς σου τέκνοις οἶκον κοσμικὸν, ἐν ᾧ εἰσι γυναῖκες ἐπὶ συχνῷ παραβάλλων, ἀλ-

λ'ἐκλέξῃ εἰς ἀνδρῶν εὐλαβῶν τὰς παροδικὰς καὶ ἀναγ-
καίας χρείας ποιεῖσθαι. Οὐ κτήσῃ μαθητὴν εἰς τὸ κελ-
λίον σου προσπαθῶς, ἐπὶ βλάβῃ τῶν ἀστηρίκτων, ἀλλ' ἐκ
προσώπου ἀνυπόπτου καὶ ἐκ διαφόρων ἀδελφῶν τὴν ὑπηρε-
σίαν σου ποιήσεις. Οὐ προσκτήσῃ ἐν τῇ Λαύρᾳ προάστειον
ἢ ἀγρὸν, εἰς βλάβην καὶ περισπασμὸν τῆς ἀδελφότητος
ἄκαιρον, εἰ μή τι ἐν τῇ πόλει μετόχιον διὰ τὸ τοὺς ἀδελ-
φοὺς ἡμῶν κατὰ χρείαν εἰσιόντας ξενίζεσθαι· ἀρκοῦσι γὰρ
τὰ ὑπ' ἐμοῦ, τῇ τοῦ Θεοῦ προνοίᾳ καὶ χάριτι, τούτοις
καταλειφθέντα, εἴπερ αὐτῶν ἐπιμέλονται. Οὐ κωλύσεις
τὸ τὰ πρὸς τὴν χρείαν ἐπιχορηγεῖν τοῖς ἐν τῷ τοῦ λιμέ-
νος καταγωγίῳ ἀποχειμαζομένοις ὅσας ἡμέρας ἢ μῆνας
κρατηθῶσιν· οὐδὲ ἐλαττώσεις τὴν διακονίαν τῆς φιλοξε-
νίας κἂν εἰς ἓν μόδιον δι' οἰκονομικήν τινα παίδευσιν, ἡ
τῆς Λαύρας κατασταίη δαπάνη τε καὶ χρεία. Οὐ προ-
τιμήσεις τοῦ συμφέροντος τῇ ἀδελφότητι πρόσωπον παν-
τὸς ἀνθρώπου ὑπερέχοντος καὶ ἐξουσιάζοντος κατὰ τὸν
παρόντα αἰῶνα. Οὐδὲ ὑποσταλῇς, μέχρις αἵματος, ἐπὶ
φυλακῇ τῶν θείων νόμων καὶ ἐντολῶν, προθεῖναι τὴν ψυ-
χήν σου. Ἐντελλόμεθα δὲ πρὸς τοῖς ὀγδοήκοντα μονα-
χοῖς τοῖς ἀπὸ τῆς τοῦ μακαριωτάτου βασιλέως τοῦ κυροῦ
Νικηφόρου διαταγῆς ἐν τῷ εὐσεβεῖ χρυσοβουλλίῳ αὐτοῦ
τεθεῖσι καὶ ἑτέραν ἀριθμοῦ προσθήκην μοναχῶν τεσσαρά-
κοντα προστεθεῖναι· ὡς εἶναι τὸν ἀμφοτέρων τῶν μοναχῶν
ἀριθμὸν ἑκατὸν εἴκοσι, μετὰ τῶν ἐν τῷ μετοχίῳ καθεζο-
μένων. Ἐπειδὴ καὶ ὁ κύριος Ἰωάννης ὁ εὐσεβέστατος ἡμῶν
βασιλεὺς προσθήκην ποιησάμενος τοῦ τῆς καθ' ἡμᾶς Λαύ-
ρας σολεμνίου* διακόσια τεσσαράκοντα τέσσαρα νομίσμα-

* χείρ τις σύγχρονος, ὡς ἔοικεν, ἐσημείωσεν ἐν τῇ ὥᾳ «ἔν τινι πρὸς
Ἰωάννην τὸν Ἴβηρα χαριστικῇ τοῦ ὁσίου Ἀθανασίου εὗρον ὡς τόδε τὸ
παρὰ τοῦ αὐτοκράτορος Ἰωάνου χρυσόβουλλον καὶ ἕτερα πολλὰ τοῦ
Βασιλείου διὰ Ἰωάννου τοῦ Ἴβηρος ἐδωρήθησαν τῇ Λαύρᾳ Ἀθανασίου».

τα, ἀναλόγως τῷ παρὰ τοῦ μακαριωτάτου βασιλέως κυροῦ
Νικηφόρου γεγονότι· καὶ χρυσοβούλλιον ἑαυτοῦ ποιήσας
ἐπέδωκεν ἡμῖν πρὸς τὸ χορηγεῖσθαι τῇ καθ' ἡμᾶς Λαύρᾳ
ταύτην ἀπὸ τῆς ἐπείξεως τῆς Λήμνου διηνεκῶς, ἐπιβε-
βαιῶν ἅμα καὶ τὴν διὰ χρυσοβουλλίου καθόλου διάταξιν
τοῦ δηλωθέντος μακαριωτάτου βασιλέως τοῦ κυροῦ Νι-
κηφόρου.

Ἐκ δὴ τούτων τῶν ἑκατὸν εἴκοσι μοναχῶν[10], πέντε
μοναχοὺς κελλιώτας τῆς Λαύρας ἔξωθεν ἡσυχάζειν βου-
λόμεθα, ῥογεύεσθαί τε κατ' ἔτος ἀνὰ νομισμάτων τριῶν
καὶ σίτου μοδίων πέντε· οὓς καὶ παρεγγυώμεθα ἀκτήμο-
νας εἶναι καὶ ἐγκρατεῖς, εὐλάβειαν πᾶσαν καὶ ταπείνωσιν
πρὸς τὸν καθηγούμενον ἀποσώζοντας· τοὺς δὲ ἱκανῶς ἔχον-
τας ἐξ αὐτῶν καὶ ἑτέρου προεστάναι ἀφ' ἑνὸς ἔχειν καὶ
μόνου μαθητοῦ παραγγέλλομεν· ἐξεῖναι δέ τινι δύο μαθη-
τὰς οὐ βουλόμεθα· ἄλλως τε μηδὲ προσθήκη τις ἄλλου
κελλίου γινέσθω λόγῳ τινὸς κελλιώτου, παρὰ τὴν ἡμετέ-
ραν γνώμην τε καὶ διάταξιν· μᾶλλον δὲ καὶ τούτων τῶν
πέντε εἰ μεταναστεύσειέ τις ἢ τελευτήσει[ε], τὸ τηνικαῦ-
τα, εἰ μὲν εὑρεθείη ἕτερος, οἷον ὁ λόγος ἐπιζητεῖ, ἱκανὸς
πρὸς τὸ τοιοῦτον ἐγχείρημα, ἀντεισαγέσθω εἰς ἀναπλή-
ρωσιν τοῦ ἐλλείποντος· εἰ δὲ μή, οὕτω διαμενέτωσαν.
Δίδοσθαι γὰρ ταῦτα κελλιώταις ἁπλῶς καὶ ὡς ἔτυχεν οὐ
βουλόμεθα.

Τοὺς δὲ λοιποὺς ἅπαντας[11] ἐν ὑποταγῇ εἶναι καὶ
ὑφ' ἑνὶ ποιμένι ποιμαίνεσθαί τε καὶ προνοεῖσθαι διορίζό-
μεθα· τοῦτο γὰρ χρόνῳ πολλῷ καὶ κόπῳ καὶ δοκιμασίᾳ
ἐπισκεψάμενοι καὶ πείρᾳ τὸ εὐθὲς καὶ ὠφέλιμον εὑρηκότες,
ἄριστον εἶναι μᾶλλον κεκρίκαμεν καὶ ἀκινδυνώτερον, φημὶ
δὴ κοινῶς τοὺς ἅπαντας βιοῦν ἀδελφούς· κοινῇ βλέπειν

10. περὶ κελλιωτῶν.

11. περὶ τοῦ πῶς δεῖ ὑποτάσσεσθαι καὶ κοινῶς βιοῦν.

πρὸς τὸν αὐτὸν τῆς σωτηρίας σκοπόν· μίαν τε καρδίαν εἶναι ἐν τῷ κοινοβίῳ καὶ θέλημα ἕν· καὶ μίαν ἐπιθυμίαν· καὶ ἓν σῶμα ἐκ διαφόρων μελῶν συνηρμοσμένον πᾶν τὸ πλήρωμα τῆς ἀδελφότητος, καθὼς νομοθετεῖ ὁ Ἀπόστολος· ἀληθῆ τε καὶ τελείαν καὶ ἀνυπόκριτον πρὸς τὸν προεστῶτα τὴν ὑπακοὴν ἐνδείκνυσθαι· ἡ δὲ ἀληθὴς καὶ ἄμωμος ὑποταγὴ τῶν ὑποτακτικῶν πρὸς τὸν καθηγούμενον ἐν τούτῳ δείκνυται, τῷ μὴ μόνον τῶν ἀτόπων, κατὰ τὴν συμβουλὴν τοῦ προεστῶτος, ἀπέχεσθαι, ἀλλὰ μηδ' αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν καταδέχεσθαι· τὸ γὰρ ἐγκρατεύεσθαι καὶ σωματικῶς κακοπαθεῖν μὴ πρός τι χρησίμως ἔχειν οὐκ ἂν διατειναίμην, ἀλλ' εἴ τις τὸ ἀρεστὸν αὐτῷ ποιῶν, μὴ πρότερον ἐρωτήσας, ταῖς ἰδίαις ὁρμαῖς κέχρηται, μεῖζον τοῦ κατορθώματος ἕξει τὸ πλημμελούμενον, ὁ δὲ τῆς ὑπακοῆς μισθὸς μεῖζον τοῦ κατὰ τὴν ἐγκράτειάν ἐστι κατορθώματος. Κοινῶς ἐσθίειν παρεγγυώμεθα τοὺς οὕτως ἡνωμένους, κοινῇ τὴν πᾶσαν ἀκολουθίαν ἐπιτελεῖν ἐν τῇ τοῦ Θεοῦ ἁγίᾳ Ἐκκλησίᾳ, τήν τε νυκτερινὴν καὶ ἡμερινήν, καθὼς ἔργῳ αὐτοῖς ὑπεδείξαμεν καὶ ἐγγράφως ἐνετειλάμεθα καὶ παραδεδώκαμεν.

Εἰ δὲ καί ποτέ τις βουληθείη[12], Θεοῦ ἀντιλήψει καὶ συνεργείᾳ, τὸν δι' ὑπακοῆς σκυλμὸν ἡσυχίᾳ καὶ μονώσει καὶ καθέδρᾳ κελλίου ἀμείψασθαι, ἀπαγγελλέτω τῷ προεστῶτι τὸ πρᾶγμα, ὁ δὲ δοκιμαζέτω τὴν τούτου κατάστασιν ἀκριβῶς· καὶ εἰ μὲν μετέχει δυνάμεώς τε καὶ ἐργασίας τῶν ἐν κελλίοις καθεζομένων, ὡς ἤδη προγυμνασθεὶς ἐν τῇ ὑποταγῇ καὶ μαθὼν τὸ μετὰ προσοχῆς καὶ τηρήσεως τοῦ νοὸς καθῆσθαι ἐν τῷ κελλίῳ, εὔχεσθαί τε καὶ ἀγρυπνεῖν νηφόντως καὶ ἐγκρατεύεσθαι καὶ μελετᾶν καὶ τῆς τῶν Γραφῶν ἐρεύνης ἀντέχεσθαι μετὰ ταπεινώσεως καὶ ἐργοχείρου φροντίζειν προτρεπέσθω τοῦτο ποιῆσαι· εἰ δὲ

12. περὶ τῶν βουλομένων κατὰ μόνας ἡσυχάζειν.

τις τῆς τοιαύτης ἐργασίας ἀμύητος τυγχάνει εἰργέσθω, διακονεῖν μᾶλλον καὶ σκύλλεσθαι προτρεπόμενος, ἵνα μὴ καὶ αὐτό, ὃ ἔχειν δοκεῖ, διὰ τῆς ἀλόγου ἀπωλέσας ἀργίας, τῷ τῆς ἀκηδίας καὶ φιληδονίας πνεύματι παριπεύσῃ (sic). Ἴστω γὰρ ἀκριβῶς ὁ τοιοῦτος δι' οὐδὲν ἕτερον τὸ ἰδίᾳ καὶ χωρὶς καθῆσαι ἐπιζητεῖ ἢ τὸ ἀδεῶς ὅτε βούλοιτο παραβάλλειν τῇδε κακεῖσε καὶ τοῦ κελλίου πλάζεσθαι ἔξω, βρώμασί τε καὶ πόμασι καὶ ὕπνοις κεχρῆσθαι κατακόρως καὶ τὴν σάρκα διαναπαύειν ἵνα μᾶλλον τὸ δεσμωτήριον, ὡς ὁ λόγος, χαλεπώτερον ἑαυτῷ ἀπεργάσοιτο. Πλὴν οὖν ἐντέλλομαι τῷ μεθ' ἡμᾶς προστησομένῳ τῶν ἀδελφῶν, κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ὁρκίζων αὐτόν, ἵνα τοῦ χρόνου προϊόντος, ὅσοις δ' ἂν ὁ Κύριος γνῶσιν παράσχοι καὶ δύναμιν τῶν ἐν ὑποταγῇ φημὶ τῆς Λαύρας ἐντὸς προσκαρτερούντων, τοῦ καθίσαι μεθ' ἡσυχίας καὶ προσοχῆς ἐν τοῖς κελλίοις αὐτῶν, ὡς ἀνωτέρω δεδήλωται, μηδένα κωλύειν ἢ παρεμποδίζειν ἢ διαταράσσειν φιλονείκως ἢ ὀνειδιστικῶς, μήτε δι' ἐπιταγῆς διακονιῶν, μήτε διὰ γογγυσμῶν, μήτε δι' ἄλλων οἱωνδήποτε προφάσεων, ἀλλὰ πᾶσαν σπουδὴν ἐνδείκνυσθαι καὶ προθυμίαν τοῦ διαναπαύειν αὐτούς, ἔν τε ταῖς ἀναγκαίαις χρείαις καὶ ἐν πᾶσι τοῖς ὀφειλομένοις· τὴν δέ γε τούτων ἡσυχίαν καὶ προσοχὴν μὴ ἀργίαν λογίζεσθαι· πολλάκις γὰρ εὐξάμην ἔγωγε τῷ Θεῷ καὶ εὔχομαι τοιούτους πάντας γενήσεσθαι· καὶ γὰρ ἐν τῇ τοῦ πατρὸς καὶ προεστῶτος μεμενήκασιν ὑποταγῇ, καὶ τῆς ἡσυχίας οὐκ ἀφεστήκασι· καὶ ἔστιν αὐτοῖς ἑκατέρωθεν διπλῆ πάντως ἡ κτῆσις τῶν ἀγαθῶν· διὰ τοῦτο γὰρ ὡς ἐπὶ τὸ πλεῖστον καὶ τὸν μακαριώτατον βασιλέα πεποιήκαμεν γράψαι, διαλαμβάνειν οὕτωσὶ καὶ μνημονεύειν τῷ χρυσοβούλλίῳ, ὥστε διανεμηθῆναι τὸ σολέμνιον τοῦ σίτου ἔν τε τῇ ἐκκλησίᾳ καὶ μοναχοῖς κελλιώταις τουτέστιν ἡσυχασταῖς· καὶ ἐπισκήπτω κἀγὼ καὶ παρακαλῶ ἵνα τοὺς διακαρτεροῦντας ἐν ἡσυχίᾳ μεθ' ὑπο-

ταγῆς τοῦ πατρὸς καὶ προεστῶτος καὶ ἀγωνιζομένους, ὡς εἴρηται, μετὰ ταπεινώσεως, εἰς τε δόξαν Θεοῦ καὶ ὠφέλειαν ἑαυτῶν καὶ τῆς ἀδελφότητος καὶ εἰς σύστασιν τῆς Λαύρας, παντὶ τρόπῳ διαναπαύεσθαι, παρά τε τοῦ καθηγουμένου καὶ τῶν ἀδελφῶν ὥστε ἀφρόντιδας εἶναι περὶ τὰ σωματικὰ καὶ τέλεον ἀνενοχλήτους· καὶ καθάπερ ἡμεῖς ἔτι περιόντες ἐκ περιουσίας ἐσπουδάζομεν θεραπεύειν αὐτούς, οὕτω βούλομαι παρὰ τοῦ ἐμοῦ μέλλοντος γίνεσθαι διαδόχου θεραπεύεσθαι τούτους, μετὰ τὸ ἡμᾶς τὸν βίον ἀπολιπεῖν· εἰ δὲ καί τισι δῴη ἰσχὺν ὁ Θεὸς ὡς πρὸς ἀναχωρητικωτέραν καὶ μεμονωμένην ἡσυχίαν διὰ μείζονας ἀγῶνας καθίσαι ἢ καὶ δοκιμασίαν πρὸς τοῦτο ποιήσασθαι, μὴ κωλυέσθωσαν· καὶ γὰρ καὶ τὰ κελλία τοῦ μακαριωτάτου καὶ ἀοιδίμου βασιλέως μικρὸν τῆς Λαύρας διεστηκότα, καὶ τὰ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τόν τε ναὸν τῆς ἁγίας Τριάδος ἐξ ὁλοκλήρου σὺν τοῖς κελλίοις καὶ πᾶσι τοῖς αὐτῇ διαφέρουσιν ἐν τῇ τῆς Λαύρας ὑποταγῇ, χάριν τῶν οὕτως ἀγωνιζομένων ἀφίημι· εἰ δέ ποτέ τις ἔλθοι εἴτε ἀποταγὴν προσφέρων πρὸς τὸ καθίσαι ἐν τοῖς προειρημένοις κελλίοις, εἴτε ἐκλήψεως τρόπῳ εἰσδεκτικὸν παρεχόμενος ἐν τῷ μέρει τῆς Λαύρας, πρὸς τὸ ἐκλαβέσθαι αὐτοὺς ἐπί τισι ῥητοῖς χρόνοις ἢ καὶ προσώποις, μὴ ἐξεῖναι τῷ προεστῶτι δέχεσθαι αὐτὸν ἕνεκα τῆς τοιαύτης προφάσεως· ὡς γὰρ ἐνετειλάμεθα ἔτι διοριζόμεθα εἶναι αὐτὰ εἰς τὴν τῆς Λαύρας ἐξουσίαν καὶ ἐπικράτειαν καὶ εἰς ὠφέλειαν καὶ ἀνάπαυσιν τῶν αἱρουμένων ἐξέρχεσθαι καὶ ἀγωνίζεσθαι καὶ δοκιμάζειν ἑαυτοὺς μαθητῶν ἡμῶν· καὶ πάλιν ἐν ὑποταγῇ εἰσιέναι. Ἕτερα δὲ κελλία, ὡς δῆθεν ἡσυχαστήρια, πλησίον τῆς Λαύρας ἢ ἐν πάσῃ αὐτῆς τῇ περιοχῇ ἀνοικοδομηθῆναι οὐ βούλομαι· ἀρκοῦσι γὰρ καὶ ταῦτα τοῖς δυναμένοις μεμονωμένως καὶ ἰδίως καθέζεσθαι· πιστεύω δὲ τῷ Θεῷ ὡς, εἴ γε πέντε εὑρεθεῖεν τοιοῦτοι, δι' αὐτῶν καὶ τὴν Λαύραν συνι-

στασθαι καὶ τοὺς ἀδελφοὺς προκόψαι διὰ τάχους ἐπὶ τὰ ἔμπροσθεν, εὐχαῖς αὐτῶν καὶ συμβουλίαις καὶ νουθεσίαις πνευματικαῖς. Εἰ δέ ποτε συμβαίη διά τινα μικροψυχίαν ἢ καὶ ἀκηδίαν, ταῦτα γὰρ συμβαίνει τοῖς ἡσυχάζουσιν, ὀλιγωρῆσαί τινα καὶ δέοι πρὸς καιρόν τινα μεταβληθῆναί τε καὶ παρηγορηθῆναι μικρὸν καὶ ἑαυτὸν ἀνακτήσασθαι, ἵνα πάλιν τῶν πόνων ἀκμαιότερον ἀντιλάβοιτο καὶ τῆς ἰδίας ἐνεργίας ἀνθέξοιτο, προτρεπέσθω παρὰ τοῦ προεστῶτος ἐξιέναι πρὸς μεταβολὴν εἰς τὸν Μυλοπόταμον, βουλόμενος καὶ αὐτὸν τῇ μεταβάσει τοῦτό που θεραπεύεσθαι προσηκόντως καὶ πρὸς τὸ εὔθυμον ἐπανάγεσθαι· οἱ δὲ πρὸς τὴν τοιαύτην διαγωγὴν ἀδυνάτως ἔχοντες ἐχέτωσαν τῆς ὑποταγῆς καὶ ἀγωνιζέσθωσαν ὡς ἀθληταὶ καὶ μάρτυρες, ἵνα μὴ τέλεον ἀμφοτέρων ἐκπέσωσι· μαρτύρομαι γὰρ πᾶσιν αὐτοῖς ἐνώπιον Θεοῦ καὶ ἀγγέλων ὅτι οἱ προσκαρτεροῦντες ἐν τῇ ἀνοθεύτῳ ὑποταγῇ καὶ μένοντες ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ καὶ τῇ πρὸς ἀλλήλους στοργῇ οὐ δεύτεροι τῶν ἄκρως ἀγωνιζομένων ἐν ἡσυχίᾳ ἔλθοιεν, ἀλλὰ καὶ ὑπέρτεροι εὑρεθήσονται καὶ τῶν αἰωνίων στεφάνων ἀξιωθήσονται παρὰ τοῦ ἀγαθοῦ καὶ ἀδεκάστου κριτοῦ.

Τὰ δὲ κελλία τοῦ κυρίου Ἰωάννου τοῦ Ἴβηρος, ὡς ἐν τῇ πρὸς αὐτόν μου διωρισάμην χαριστικῇ, οὕτω καὶ φυλάττεσθαι βούλομαι, φυλαττόντων δηλονότι τῶν διαδόχων αὐτοῦ πρὸς τοὺς μεθ' ἡμᾶς εὐγνωμοσύνην καὶ ἀποτρεπομένων τὰ ἀπηγορευμένα τοῖς θώμοις· ἔτι δὲ τὸ πλατύνεσθαι πλέον τοῦ διατεταγμένου καὶ ἢ τὸν ὄγδοον ἀριθμὸν ὑπερβαίνειν ἢ πειρᾶσθαι πωλεῖν αὐτὰ καὶ χαρίζειν καὶ οἱῳδήποτε τρόπῳ ἀποτέμνειν τῆς Λαύρας.

Ἐντέλλομαι δὲ καὶ τοῦτο σὺν ἀσφαλείᾳ πάσῃ καὶ παραγγελίᾳ τῷ τε καθηγουμένῳ τοῖς τε μετ' αὐτὸν τὰ πρῶτα φέρουσιν ἀδελφοῖς ἵνα μηδέποτε ἐν τῇ καθ' ἡμᾶς Λαύρᾳ εὐνοῦχον προσδέξωνται, εἰ καὶ τάχα γέρων ἐστί, μήτε δὲ παιδίον, εἴπερ μέλλει εἶναι αὐτοῦ τοῦ τὰ σκῆπτρα

τῆς βασιλείας διέποντος. Εἰ δέ τις παραβάτης τῆς ἐντολῆς μου ταύτης γενόμενος δέξηται ἅπερ ἀπηγόρευσα πρόσωπα κεχωρισμένος ἔστω Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος, ἐχέτω δὲ καὶ τὴν κατάραν τῶν ἁγίων Πατέρων ἡμῶν καὶ τὸ ἀνάθεμα ἀπὸ τοῦ κλήρου τῶν δικαίων. Τῶν δὲ λοιπῶν εἴ τις προσιὼν προαιρεῖται δοῦναι ἀποταγὴν καὶ τῇ πνευματικῇ ἐνταγῆναι ἀδελφότητι, βιοῦν τε καὶ συγκακοπαθεῖν αὐτοῖς, διὰ τὴν τοῦ Χριστοῦ ἐντολήν, ἔν τε τῇ ἀκολουθίᾳ τῆς ἐκκλησίας καὶ τῇ κοινῇ τῆς τραπέζης διαίτῃ ἀρκούμενος δεχθήτω μέν, τὴν δὲ ἀποταγὴν αὐτοῦ διδότω πτωχοῖς, ἵνα μὴ τῇ ταύτης δόσει ἐπερειδόμενος αὐτὸς μὲν συνεχῶς πειράζηται καὶ τῶν ἀδελφῶν κατεπάρηται ὥς τι μέγα πεποιηκώς, εἰς ὀνειδισμοὺς δὲ χωρήσας ἄρξηται θλίβειν τοὺς ἀδελφούς· εἰ δέ τις μεμαρτυρημένος εἴη ἐπ' εὐλαβείᾳ καὶ γνώριμος ὡς μηδεμίαν ἐκ τῆς τοιαύτης αἰτίας ἀφορμὴν βλάβης προφᾶσθαι τὸν καθηγούμενον καὶ βούλεται ἐκ τῶν προσόντων αὐτῷ δοῦναί τινα τῷ Θεῷ προσφορὰν οὐδὲ τοῦτο ἀποβλητέον· πλὴν μηδ' αὐτὸ τοῦτο ἀδοκιμάστως γινέσθω. Αὐτὰ δὴ ταῦτα καὶ περὶ τῆς τῶν ἀδελφῶν κουρᾶς ἔχομεν συμβουλεύσασθαί τε καὶ προτρέψασθαι, πρὸς τὸ μὴ εὐθὺς καὶ παραχρῆμα ἐξεῖναι αὐτῷ ἀποκείρειν τινὰς μέχρι συμπληρώσεως ἐνιαυτοῦ, εἰ μή τι τῶν εὐλαβῶν εἶέν τινες καὶ γνωρίμων καὶ μεμαρτυρημένων ἐπὶ βίου σεμνότητι· τοὺς γὰρ τοιούτους προσλαμβάνεσθαι καὶ θεραπεύειν ἐν τοῖς καθήκουσιν εὐχῆς ἔργον ἐμοὶ καὶ σπουδῆς τῆς μεγίστης καὶ πρώτης καθέστηκεν.

Εἰδέναι οὖν χρὴ ὅτι καὶ περὶ τῶν Περιστερῶν[13] ἤτοι τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἱερῶν Ἀποστόλων Ἀνδρέου Μονῆς, τῆς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν τε καὶ δεσποτείαν

13. περὶ τῆς Μονῆς τοῦ Ἁγίου Ἀνδρέου ἤτοι τῶν Περιστερῶν.

τελούσης, κατὰ τὴν τῶν δύο εὐσεβῶν χρυσοβουλλίων περιοχήν τε καὶ διάταξιν, τοῦ τε ἀοιδίμου καὶ τρισμάκαρος βασιλέως τοῦ κυροῦ Νικηφόρου καὶ τοῦ ἔτι περιόντος εὐσεβοῦς ἡμῶν βασιλέως τοῦ κυρίου Ἰωάννου τοῦ νυνὶ τὰ τῆς βασιλείας Ῥωμαίων σκῆπτρα διέποντος διατιθεμένοις ἡμῖν οὕτως ἔδοξε διατάξασθαι· βουλόμεθα τοίνυν Στέφανον τὸν εὐλαβέστατον μοναχὸν καὶ καθηγούμενον, καθὼς καὶ προνοεῖται καὶ ἄρχει τῆς τοιαύτης Μονῆς, μένειν ἀδιάσειστον καὶ ἀλογαρίαστον, ὥστε μὴ ἔχειν ἐπ' ἀδείας τινὰ τῶν μεθ' ἡμᾶς μετακινεῖν αὐτὸν ἢ παραλύειν τῆς ἐπιστασίας τῆς τοιαύτης Μονῆς τῶν Περιστερῶν, ἐν πάσῃ τῇ αὐτοῦ ζωῇ, ἐπειδὴ καὶ ἐδούλευσεν ἡμῖν ὅλῃ τῇ ἰσχύι αὐτοῦ καὶ κατὰ τὸ ἐγχωροῦν μεγάλως ἀνέπαυσε — καὶ τὴν προσήκουσαν τιμὴν ἀπένειμε — καὶ τὴν ἁρμόζουσαν ὑποταγὴν ἐνεδείξατο καὶ βελτιώσεις πολλὰς καὶ μεγάλας ἐν τῇ Μονῇ πεποιηκέναι φαίνεται· ὁ δέ γε πειρώμενος, μετὰ τὸ ἡμᾶς τὸν βίον ἀπολιπεῖν, τῆς τοιαύτης ἀρχῆς μετακινῆσαι αὐτόν, ἢ ἄλλως πως καθ' οἱονδήποτε τρόπον θλίψιν τὴν οἱανοῦν αὐτῷ ἐπαγαγεῖν, ἀλλότριος ἔστω τῆς ἁγίας καὶ ζωαρχικῆς καὶ ὁμοουσίου Τριάδος, ἐχέτω δὲ καὶ τὴν κατάραν ἡμῶν τῶν ταπεινῶν· μᾶλλον μὲν οὖν ἐντέλλομαι καὶ μνημονεύεσθαι αὐτὸν ἐν ταῖς ἐπιτελουμέναις ἀδιαλείπτως θείας λειτουργίας παρὰ τῶν πρεσβυτέρων τῆς Λαύρας καὶ ζῶντος καὶ μετὰ θάνατον αὐτοῦ, καὶ ἐτησίως μνήμην αὐτοῦ ἐπιτελεῖσθαι· μετὰ δὲ τὴν ἀπὸ τοῦδε τοῦ βίου μετάστασιν τοῦ εἰρημένου μοναχοῦ Στεφάνου τοῦ εὐλαβεστάτου καθηγουμένου, ἐβουλόμεθα καὶ μετ' ἐκεῖνον παρὰ τοῦ τῆς Λαύρας προεστῶτος προβληθῆναι καὶ αὖθις ἡγούμενον· ἀλλ' ἐπειδὴ πάντῃ κατημέληται τὰ τῆς μοναδικῆς καταστάσεως ἐν τῇ τοιαύτῃ Μονῇ παρὰ τῶν προηγησαμένων, ἐκ μακροῦ τοῦ χρόνου, καὶ ἀδιαφορίᾳ πολλῇ καὶ ἀμελίᾳ κατέχονται σχεδὸν ἅπαντες οἱ τῆς Μονῆς μοναχοί, συνεί-

δομεν οἰκονομίᾳ χρήσασθαι πρὸς τὸ πρὸς ἕνα βλέπειν καὶ ὑφ' ἕνα τελεῖν, ἤγουν τὸν προεστῶτα τῆς Λαύρας, πάντας τοὺς ἐν τῇ δηλουμένῃ Μονῇ, ὥστε τῇ μοναρχίᾳ συνελαθῆναι πρὸς τὸ πνευματικώτερον, ἔν τε ταῖς προσευχαῖς καὶ ψαλμωδίαις καὶ ἀναγνώσεσιν, ἔν τε βρώμασι καὶ πόμασιν, ὡς ἡ δουλεία καὶ ὁ κόπος, ἢ ἡ ὁδοιπορία καὶ ἡ ἡλικία, ἢ ἡ νόσος ἑκάστου καὶ ἡ ὑγίεια κατὰ καιρὸν ἀπαιτεῖ· προβάλλεσθαι δὲ διοριζόμεθα παρὰ τοῦ τῆς Λαύρας προεστῶτος, ἐκ τῆς Λαύρας, οἰκονόμους τε χρησιμωτάτους καὶ πρεσβυτέρους, διασκέψει καὶ δοκιμασίᾳ πολλῇ αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ καὶ ὑφ' αὐτὸν μοναχῶν, ὥστε τοῖς μὲν διοικονομεῖσθαι προσηκόντως τὰ σωματικώτερα, τοῖς δὲ καταρτίζεσθαι καὶ συγκροτεῖσθαι τοὺς σὺν αὐτοῖς ἀδελφοὺς ἐν τοῖς κατ' ἀρετὴν λόγοις τε καὶ τρόποις καὶ πάσαις ταῖς κατὰ Θεὸν πράξεσι· τούτου γὰρ γενησομένου, σὺν Θεῷ φᾶναι, πέποιθα πολλὴν παρ' ἀλλήλων καὶ ἐν ἀλλήλοις ἀναφανῆναι κοινωνικῶς καὶ μοναρχικῶς τὴν ἐπίδοσιν τῶν ἀγαθῶν καὶ ὠφέλειαν· μήτε τῶν ἀπὸ τῆς Λαύρας μήτε τῶν ἀπὸ τῆς πολλάκις δηλωθείσης Μονῆς ἐκ δυαρχίας πρὸς ἀλλήλους κατὰ μηδὲν διαφερομένων, ἀλλ' ἀεὶ πρὸς τὴν τῆς ἀγάπης συναγομένων ἕνωσιν καὶ ὁμοφροσύνην τῷ ὑπὸ μίαν καὶ μόνην τὴν πρώτην ἀρχὴν ἀφορᾷν· καὶ εἴ τις ἡμῶν τὴν ἐπωφελῆ ταύτην καὶ σωτήριον οἰκονομίαν πειραθῇ καταλῦσαί ποτε ἀλλότριος ἔστω τῆς ἀγάπης, ἡ δὲ ἀγάπη ἐστὶν ὁ Θεός. Προσκείσθω δὲ καὶ τοῦτο τοῖς διατεταγμένοις παρ' ἡμῶν ὡς εἴπερ βούλοιντό τινες, εἴτε τῶν ἐν τῇ Λαύρᾳ προσκαρτερούντων ἀδελφῶν ἡμῶν εἴτε τῶν ἀπὸ ξένης φοιτώντων κελλία ἕτερα οἰκοδομῆσαι ἢ καὶ ἀγρὸν ἀνεγεῖραι καὶ φιλοκαλῆσαι μηδαμῶς τοῦτο παραχωρῆσαι ἐν πάσῃ τῇ τῆς Λαύρας περιοχῇ, φημὶ δὴ ἀπὸ τοῦ ἀκρωτηρίου τῶν ἀποθηκῶν καὶ μέχρι τοῦ Ἀντιάθωνος· σκάνδαλα γὰρ ἐκ τούτου καὶ ταραχαὶ εἰώθασιν ἀναφύεσθαι, ἄλλως δὲ καὶ τὰ

τῆς μονώσεως καὶ ἡσυχίας ἐκ τοῦ πλησιασμοῦ κατὰ μικρὸν ἀκρωτηριάζεσθαι πέφυκε. Διὰ τοῦτο οὔτε παρ' ἑτέρου προσώπου οὔτε παρ' αὐτοῦ τοῦ καθηγουμένου τῆς Λαύρας κελλία ἢ ἀγρὸν διορίζομαι· ἀλλ' οὔτε δὲ ἀμπελῶνα ἕτερον μέχρι καὶ ἑνὸς πλινθίου, εἴτε ἐν τῇ τῆς Λαύρας ἁπάσῃ περιοχῇ εἴτε ἐν τῷ Μυλοποτάμῳ βούλομαι φυτευθῆναι· ἀρκοῦσι γὰρ, ὡς προείρηται, τὰ ὑπ' ἐμοῦ, Θεοῦ προνοίᾳ, καταλειφθέντα. Περὶ δὲ προβάτων ἢ αἰγῶν περιττὸν ᾠήθην σημᾶναι, ὡς πάντῃ ἀνοίκειον μοναχοῖς καὶ μάλιστα τοῖς ἐν ὄρεσι καθεζομένοις τὴν τούτων κτῆσιν ἡγούμενος. Ταῦτα δὴ πάντα καὶ ὅσα ἕτερα παρ' ἡμῶν ἐγγράφως τε καὶ ἀγράφως ἐξελάβου, ὦ πάτερ καὶ ἀδελφὲ, ὅστις ἂν εἶῃς ὁ προεστὼς ὁ καὶ τὸ κῦρος καὶ πᾶσαν τὴν ἐξουσίαν τῆς Λαύρας ἣν ἔχομεν καὶ ἡμεῖς, ἵνα μὴ πλέον τι λέγω, παρὰ Θεοῦ καὶ τῆς ἐμῆς ταπεινώσεως εἰλῃφὼς, παραφυλάξεις καὶ φρουρήσεις, εἰς δόξαν Θεοῦ· εἰς καύχημα ἐμοί· εἰς ὠφέλειαν τῶν μαθητιώντων· εἰς ζῆλον ἔνθεον τῶν ἀκουόντων καὶ ὁρώντων· ἵνα εὖ σοι γένηται καὶ ἔσῃ κατευοδούμενος ἐν Κυρίῳ· τὸ γὰρ ἐναντίον ἀπεῖη καὶ λέγειν καὶ ἐννοεῖν. Ἰδοὺ οὖν παρατίθημί σοι, ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα, ὅπως αὐτὴν εἰσδέξῃ· ὅπως προσλάβοις καὶ ὁδηγήσοις καὶ διαφυλάξοις, ὡς ἄρνας Χριστοῦ, ὡς μέλη φίλτατα, θάλπων καὶ περιέπων ἕνα ἕκαστον, κατὰ τὸ ἴσον τῆς ἀγάπης μέτρον, ὅτι ἐπίσης ἡ στοργὴ τῶν μελῶν τοῦ σώματός ἐστιν ἐφ' ἑκάστῳ ἀνθρώπῳ.

Ἀλλὰ δεῦρο καὶ ἡμεῖς, τέκνα, καὶ ἀδελφοὶ, καὶ πατέρες, ἀκούσατέ μου τῆς οἰκτροτάτης φωνῆς. Δέξασθε καὶ ἀποδέξασθε τὸν κύριον τὸν ἡγούμενον, καθότι ἐγὼ ἐξελεξάμην αὐτόν. Ἀσπάσασθε αὐτὸν, ὡς διάδοχόν μου, δι' αἰδοῦς καὶ τιμῆς προσβλέποντες αὐτὸν καὶ τὸν τῆς ὑποταγῆς κανόνα νόμιμον, ὡς ἐν ἐμοὶ, καὶ ἐν αὐτῷ διαφυλάξατε, μὴ καταφρονοῦντες τῆς ἐν Κυρίῳ νεκρᾶς αὐτοῦ προ-

βολῆς, μηδὲ ἐκζητοῦντες πλεῖόν τι παρὰ τῶν δωρηθέντων αὐτῷ ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου χαρισμάτων. Ἀρκετὸν αὐτῷ διακρατῆσαι ἅπερ παρὰ τῆς ταπεινώσεώς μου ἐντέταλται· καὶ εἰ ἀγαπᾶτέ με, τέκνα μου, καὶ τῆς ἀγάπης μου μέμνησθε, τὰς ἐντολάς μου φυλάξατε· καὶ τὴν εἰρήνην ἐν ἑαυτοῖς ἔχετε. Εὐπείθειαν δὲ καὶ ταπείνωσιν καὶ τὴν μέχρι θανάτου ὑπακοὴν πρὸς τὸν καθηγούμενον ἀνασώσατε, μὴ ἀντιλέγοντες ἢ θλίβοντες ἔν τινι. Τὸ ἀγγελικὸν ὑμῶν ἐπάγγελμα ἀδιάψευστον τηρήσατε· τὸν κόσμον μισήσαντες μὴ ἐπιστραφῆτε πρὸς τὰ τοῦ κόσμου ἔργα· λυθέντες τῶν δεσμῶν τῆς προσπαθείας μὴ ἐνδεθῆτε αὖθις πρὸς σαρκικὰς σχέσεις· ἀπαρνησάμενοι πάντα τὰ τερπνὰ καὶ ἐπίκηρα τοῦ παρόντος βίου μὴ δι' ὀλιγωρίαν ἀποπηδήσητε τῆς ἀθλητικῆς ὑμῶν ὑποταγῆς, γενόμενοι ἐπίχαρμα δαιμόνων. Πρὸς τὸν δρόμον τῆς ὑποταγῆς μέχρι τέλους ἐγκαρτερήσατε, ἵνα τὸν τῆς δικαιοσύνης ἀμαράντινον στέφανον κομίσησθε. Τῇ ταπεινοφροσύνῃ ἀγόμενοι ἀρνηταὶ τοῦ οἰκείου θελήματος γένοισθε, πρὸς μόνα διατυπούμενοι τὰ παρὰ τοῦ καθηγουμένου ὑμῶν ἐγκρινόμενα. Καὶ εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν φυλάξητε αὐτὰ μέχρι τέλους, ὁ γὰρ χορὸς τῶν μαρτύρων ὑμᾶς εἰσδέξεται καὶ στεφανηφοροῦντες ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσοιτε, ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν. Τὸ λοιπόν, τέκνα, σώζοισθε καὶ μέμνησθέ μου τῆς ταπεινώσεως.

ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΠΟΙΗΜΑ

πρὸς τὸν πρῶτον τοῦ Ἁγίου Ὄρους

ΩΣ ΤΥΠΙΚΟΝ.

Τοῦ παρόντος τυπικοῦ, οὗ ποιητὴς ἐπιγράφεται Νικόλαος πατριάρχης ὁ Γραμματικός, ἐκδόται ἐγίνοντο ὁ Νίκανδρος Νοῦκιος καὶ ὁ πάλαι καρδινάλις Ἄγγελος Μάϊος, ἐξ οὗ παραλαβὼν ἐξέδωκεν ἐν τόμῳ ΡΙΑ' τῆς Πατρολογίας αὐτοῦ ὁ Migne. Καὶ περὶ μὲν Νικολάου τοῦ καὶ Θεοπροβλήτου ἀρχιερέως εἶπα τὰ δέοντα, καὶ γνωστά μοι*· ἀπεστάλη δὲ τὸ τυπικὸν κατὰ μὲν τὴν παρὰ Νικάνδρῳ Νουκίῳ ἀναγραφὴν Ἀναστασίῳ καθηγουμένῳ τοῦ ὄρους Σινᾶ, κατὰ δὲ τὰ ὑπὸ Cave γραφόμενα πρὸς Ἰωάννην Σιναΐτην, κατὰ δὲ τὸν ὑπ' ἀριθμὸν Η' χάρτινον κώδηκα τῆς ἐν Ἱεροσολύμοις βιβλιοθήκης τῆς θεολογικῆς σχολῆς τοῦ Σταυροῦ πρὸς Ἰωαννίκιον πρῶτον τοῦ Ἁγίου Ὄρους, ὑπὸ Νικηφόρου πατριάρχου. Ἐν διαφόροις μοναστηρίοις εὑρηνται πλήρη ἢ ἡμιτελῆ κείμενα τοῦ τυπικοῦ.

Τὸ παρὰ Νουκίου ἐκδοθὲν τυπικὸν ἐλάττονας ἔχει τῶν τοῦ ἐμοῦ στίχους διακοσίους· τὸ παρὰ Migne καὶ Mai ἐδημοσιεύθη ἐπ' ὀνόματι τοῦ πατριάρχου Νικολάου Μυστικοῦ (925) καὶ καταλογάδην, τῶν σοφῶν ἐκδοτῶν μὴ διακρινόντων στίχους· τὸ παρ' ἐμοὶ χειρόγραφον, δοθέν μοι ὑπὸ φίλου λογίου, κρίνω τελειότερον, συμπληρῶν διὰ τῶν χειρογράφων ΥΝ' καὶ ΦΜΘ' τῆς πατμιακῆς βιβλιοθήκης, ὧν τὸ ΦΜΘ' ὑπάρχει ἀρχαιότερον, γραφέν, ὡς νομίζω, κατὰ τὸν ΙΓ' αἰῶνα, ἀλλ' ὑπὸ ὀκνηροῦ ἀνθρώπου· πληρέστερόν ἐστι τὸ δεύτερον, νεώτερον ὄν, διότι ἐγράφη τῷ 1568, ἰουνίου 28, ἡμέρᾳ δευτέρᾳ, ὡς σημειοῦται κάτωθεν

---

* Ἴδε τὰ γραφόμενα ὑπ' ἐμοῦ ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ» τόμ. Γ', σελ. 168—173 καὶ 357—364, ἔνθα καὶ τὰς παραπομπὰς εὑρίσκει ὁ ἀναγνώστης.

τοῦ τυπικοῦ, ἐν ᾧ γράφεται «Θεοῦ τὸ δῶρον καὶ Σουμελίτου ὁ πόνος». Ὁ Νικόδημος ἁγιορείτης ἄγνωστον εἶπερ ὑπ' ὄψιν εἶχεν ἕτερον χειρόγραφον, ὅπερ ἀγνοῶ ποῦ σώζεται, ἢ τὸ ἔντυπον τοῦ Νουκίου, διότι στίχους τινὰς μεταγράφει ἐν τῇ ἑρμηνείᾳ τοῦ ΞΘ' κανόνος τῶν ἁγίων Ἀποστόλων.

Μετὰ τὸ παρὸν ποίημα ἐκδίδωμι τὰς κανονικὰς ἀποκρίσεις, ἃς συνοδικῶς ἔπεμψεν ὁ πατριάρχης Νικόλαος εἰς τὰς ἐρωτήσεις ἁγιορειτῶν μοναχῶν. Μετέγραψα ταύτας ἐκ χειρογράφου τῆς ἱερᾶς μονῆς τῶν Ἰβήρων γραφέντος ἐν τέλει τοῦ ΙΕ' ἢ ἐν ἀρχαῖς τοῦ Ις' αἰῶνος.

Τὰς ἐν τοῖς πατμιακοῖς χειρογράφοις διαφόρους γραφὰς ἐν τῷ ποιήματι ἔκρινα καλὸν 'να παραλίπω, ἵνα μὴ περισπῶ τὴν προσοχὴν τοῦ ἀναγνώστου, ὅστις εὑρίσκει ταύτας ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ», τόμ. Γ', σελ. 533—537. Ὁ ἐν ἀρχῇ τοῦ ποιήματος τίτλος ὡς μὲν κεῖται ἐνταῦθα: **Νικολάου** κτλ. μετεγράφη ἀπὸ τῶν πατμιακῶν χειρογράφων, ὡς δ' ἐπὶ τῶν στίχων: **Νικηφόρου** κτλ. μετεγράφη ἐκ σιμωνοπετρικοῦ κώδηκος.

(Νικηφόρου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως στίχοι περὶ διαίτης εἰς τὸν πρῶτον τοῦ Ἁγίου Ὄρους κὺρ Ἰωαννίκιον τὸν εἰς τὸ Πρωτάτον τῶν μονῶν τοῦ Ἁγίου Ὄρους προϊστάμενον).

Πολλάκις μὲν ἐβίασας καὶ ἐξέθλιψας, τέκνον,
μᾶλλον δὲ παρεκάλεσας καὶ ἠξίωσας πλεῖστα
εὐσύνοπτον καὶ σύντομον δέλτον μικράν σοι γράψαι,
δι' ἧς δυνήσῃ τοῦ μαθεῖν τί ποιῆσαι ὀφείλεις,
καὶ πῶς τὸν βίον σου καλῶς διάξεις ἕως τέλους,
ἵνα καὶ τῆς ἐκ δεξιῶν στάσεως ἐπιτύχῃς.
Ἀλλὰ τὸ πρᾶγμα ἐννοῶν ὑπὲρ δύναμιν εἶναι,
οὐ μόνον δὲ τὸ κατ' ἐμὲ ἰδιώ[την] τῷ λόγῳ
καὶ ἀμέτοχον πράξεως καὶ θεωρίας πάσης,
ἀλλὰ καὶ τοῖς γραμματικοῖς τοῖς πολλὴν πεῖραν σχοῦσι
ἐμπράκτοις οὖσι τῶν καλῶν καὶ πάσης θεωρίας
καὶ ἔργον ἀδιάπαυστον σχοῦσι τοιαῦτα γράφειν,
καὶ διὰ τοῦτο ἔσπευδον τὸ βάρος ἀπορρίψαι
ἀπ' ἐμαυτοῦ, ὡς εἴρηται, μὴ δυνάμενος τοῦτο·
ἀλλ' ἡ πολλὴ ἐπίθεσις ὁμοῦ τε καὶ ἡ βία
τῆς σῆς τάχα προθέσεως, τῆς καλλίστης καὶ θείας,
τῶν ἀνερίκτων ἅψασθαι ἔπεισεν· ὡς οὐκ ἔδει.
Ἐντεῦθεν λοιπὸν ἄρξομαι τὴν ὑπόθεσιν ταύτην,
ἀρρωγὸν προβαλλόμενος τῆς ἐμῆς ἀμαθείας,
ἰδιωτίας μᾶλλον δὲ καὶ πολλῆς ἀγροικίας

τὸν Λόγον τε καὶ Κύριον καὶ δεσπότην Χριστόν μου,
ὡσαύτως καὶ τὴν δέσποιναν Θεοτόκον Μαρίαν
καὶ τοὺς ἁγίους ἅπαντας προσκαλουμένους πρέσβεις,
ἀρχὴν ἔνθεν ποιούμενος ὅθεν ἀρχεσθαι θέμις.
Ὀφείλει πᾶς χριστιανὸς τὸν θεμέλιον ἔχειν.
Καὶ τίς οὖν ὁ θεμέλιος, ὅνπερ ὀφείλει ἔχειν;
Ἡ πίστις ἡ ἀνόθευτος ἐκ καθαρᾶς καρδίας·
ἀγαπητὲ πρὸς τὸν Θεὸν ἐξ ὅλης τῆς ἰσχύος
ἐξ ὅλης διανοίας τε καὶ ἐξ ὅλης ψυχῆς τε·
ὡσαύτως τὸν πλησίον τε ὡς ἑαυτὸν οὕτως ἔχειν·
ἐν ταύταις οὖν ταῖς ἐντολαῖς, ὡς φησὶν ὁ Δεσπότης,
ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται πάντες:
οὐ φονεύσεις· οὐ μοιχεύσεις· οὐ ψευδομαρτυρήσεις·
ἀλλ' οὐδ' ἐπιορκήσῃς, ἀληθῶς δὲ ὀμόσῃς,
ἀποδιδοὺς τοὺς ὅρκους σου κυρίῳ τῷ Θεῷ σου·
ἀλλ' οὐδὲ κλέψῃς ὅλως γε ἢ καὶ ἁπλῶς πορνεύσῃς.
Ταῦτα ὁ παλαιὸς νόμος ἐντέλλεται καὶ γράφει,
ὁ δὲ Χριστὸς καὶ Κύριος καὶ Δεσπότης τῶν ὅλων
ὁ παλαιᾶς καὶ τῆς καινῆς πληρωτὴς διαθήκης
πλείονα τὴν ἀκρίβειαν ἔχειν ἡμᾶς διδάσκει
τὸ μὴ ὀμνῦναι ἀληθῶς ἢ τινα ὅρκον λέγειν,
ἔστω δὲ μόνον ἐν ὑμῖν τὸ ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ·
τὸ δέ γε τούτων περισσόν ἐστι τοῦ διαβόλου·
ὁ γὰρ νόμος ἐκόλασε τῶν πράξεων τὰ τέλη,
ἀλλ' ὁ Σωτὴρ ἡμῶν Χριστὸς τὰς ἀρχὰς μᾶλλον πλέον·
ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι,
ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ αὐτοῦ καρδίᾳ·
ὅλως δὲ μὴ ἀντιστῆναι τῷ πονηρῷ διδάσκει
ἀλλὰ ἀγκαρευόμενόν τινά γε μίλιον ἕν,
δύο ὑπάγειν μετ' αὐτοῦ, μὴ ἀντιλέγειν ὅλως.
Τῷ πλήσσοντι τὴν δεξιὰν σιαγόνα ὀργίλως
ἡμέρως τε καὶ προσηνῶς καὶ τὴν ἄλλην παρέχειν·
καὶ ἁπλῶς εἰτιοῦν ἕκαστος πάσχει ἐκ τοῦ πλησίον

ὕβρεις ὁμοῦ καὶ μάστιγας ὑπομένειν γενναίως.
Τῷ θέλοντι κριθῆναί τε καὶ λαβεῖν σὸν χιτῶνα
δοῦναι καὶ τὸ ἱμάτιον ὁ Δεσπότης κελεύει·
καὶ εἴ τι πάθῃ ἕτερος κακὸν ἐκ τοῦ πλησίον
εἶτα καὶ ὀργισθῇ αὐτῷ ἢ μὴ ὠργίσθη τούτῳ.
Τὸν θέλοντα δανείσασθαι κενὸν μὴ ἀποστρέφειν,
παντὶ δὲ τῷ αἰτοῦντί σε διδόναι ἀπραγμόνως.
Ἀγαπᾶν τοὺς ἐχθροὺς ἡμῶν ἐντέλλεται ὡς φίλους,
καὶ πάντων ὑπερεύχεσθαι τῶν ἐπηρεαζόντων.
Καταρωμένους εὐλογεῖν· καλῶς ποιεῖν μισοῦντας.
Καὶ πάλιν περὶ προσευχῆς οὕτως ἡμᾶς διδάσκει
ἵνα μὴ προσευχ[ώμεθα] ὑποκριταὶ καθώσπερ.
Τῆς δὲ δεκάτης ἐντολῆς ὁ λόγος οὕτως ἔχει·
τινὰ μὴ κρίνειν, ἔφησεν, ἵνα μὴ καὶ κριθῶμεν·
εἶτα καὶ πρὸς τὸν θέλοντα τελειότητα φθᾶσαι
πωλεῖν διδάσκει ἅπαντα τὰ ὑπάρχοντα τούτου
καὶ ἐπιδοῦναι τοῖς πτωχοῖς σὺν προθυμίᾳ πάσῃ,
ἕξειν δ' ἐκ τούτου θησαυρὸν ἐν οὐρανοῖς καὶ δόξαν
καὶ οὕτως αἴρειν τὸν σταυρόν· αὐτῷ ἀκολουθῆσαι·
καὶ ταῦτα μὲν ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις·
ὁ δὲ θεῖος ἀπόστολος καὶ μέγας κῆρυξ Παῦλος,
τὸν ἀληθῆ χριστιανὸν καὶ πιστὸν κατὰ πάντα,
τὸν ἐνοικοῦντα ἔχοντα τὸ πανάγιον Πνεῦμα
ἐδίδαξεν ὡς ἀληθῶς, φθεγξάμενος τοιάδε·
ὁ καρπὸς ὁ τοῦ Πνεύματος πρῶτον ἀγάπη πέλει,
χαρὰ, εἰρήνη σὺν αὐτοῖς καὶ ἡ μακροθυμία,
ὡσαύτως ἡ χρηστότης τε καὶ ἡ ἀγαθοσύνη,
πρᾳότης, πίστις ἀληθὴς καὶ ἐγκράτεια πάντων.
Καὶ ἀλλαχοῦ πάλιν φησὶν, ἀδελφοὶ, μὴ πλανᾶσθε
οὔτε μοιχοὶ, οὔτε πόρνοι, οὔτε ἀρσενοκοῖται,
οὐχ ἅρπαγες, οὐ λοίδοροι, οὐ μαλακοὶ, οὐ κλέπται,
οὐ μέθυσοι, οὐκ ἄδικοι, ἀλλ' οὐδὲ πλεονέκται
τὴν βασιλείαν τοῦ Θεοῦ οὐ μὴ κληρονομήσουν.

Ἀλλὰ πρὸ τούτων πάντων δὲ καὶ τῶν ἄλλων ἁπάντων
τὴν τοῦ θείου βαπτίσματος φρικτὴν ὁμολογίαν,
ἣν ἀπαιτεῖσθαι μέλλομεν ἐν μέλλοντι αἰῶνι·
καὶ γὰρ ἀπεταξάμεθα τῷ διαβόλῳ πάντες,
τοῖς ἔργοις αὐτοῦ πᾶσί τε καὶ πάσῃ τῇ λατρείᾳ
καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ τρισσῶς ὁμολογοῦντες.
Καὶ τὰ μὲν ψυχικὰ πάθη ἀπαριθμοῦνται οὕτω·
πρῶτον ὑπερηφάνεια, φθόνος ὁμοῦ καὶ μῖσος
θυμός, ὀργὴ παράλογος καὶ σὺν αὐτοῖς ὁ φθόνος,
ἐπιθυμία ἄτοπος, ἀπρεπεῖς λογισμοί τε,
λοιδορία, κατάκρισις, ζῆλος, πλεονεξία,
κλεψία, μέθη, ἁρπαγὴ καὶ ἀδικία πᾶσα·
ταῦτα εἰσὶ τὰ πονηρὰ ἔργα τοῦ διαβόλου·
ὡσαύτως τὰ σωματικὰ ἀπαριθμοῦνται οὕτω

. . . . . .

. . . . . .

. . . . . .

Λατρεία δὲ τοῦ σατανᾶ, ὡς εἰπεῖν, ἐστὶ ταῦτα·
τὸ πιστεύειν μαντεύματα καὶ τοῖς μάγοις προστρέχειν,
τὸ ἀστρονόμους προσκαλεῖν καὶ τοὺς νεφοδιώκτας,
τὰ φυλακτὰ προσδέχεσθαι καὶ τὰ περίαπτά τε,
γειτείας παραδέχεσθαι καὶ τοὺς κριθαρομάντεις,
τοὺς ἔχοντας τοὺς δαίμονας καὶ τοὺς ὀρνεοσκόπους
καὶ ἅπαν ἐπιτήδευμα ἐθνικῶν καὶ ἀπίστων·
ταῦτα λατρεία πέφυκε τοῦ διαβόλου πάντα.
Λείπεται οὖν εἰπεῖν λοιπὸν τίς ἡ πομπὴ ὑπάρχει·
Μάντζεφα, τραγῳδήματα καὶ πᾶν ὄργανον ἄλλο,
ταυλία καὶ ζατρίκια καὶ αἱ ἱπποδρομίαι·
ταῦτα ἀπεταξάμεθα ἐν τῷ λουτρῷ τῷ θείῳ
καὶ σὺν αὐτοῖς τὸν σατανᾶν, ὡς διδάσκαλον τούτων,
καὶ συνετάγημεν Θεῷ, ὀρθῶς αὐτῷ πιστεύειν,
φυλάττειν τε προστάγματα τοῦ Θεοῦ καὶ Σωτῆρος,

ἅπερ ἐδίδασκε συνὼν τοῖς αὐτοῦ ἀποστόλοις:
τῶν μὲν κακῶν ἀπέχεσθαι, ὡς ἔργων διαβόλου,
τῶν δὲ καλῶν ἀντέχεσθαι, ὡς ἐντολῶν Κυρίου·
ταύτην λοιπόν, ὡς εἴρηται, τὴν συνταγὴν τὴν θείαν
προσαπαιτεῖσθαι μέλλομεν μικροί τε καὶ μεγάλοι,
ἐπίσκοποι καὶ βασιλεῖς, μοναχοὶ καὶ μιγάδες,
ἄρχοντές τε καὶ πένητες, καὶ πᾶς πιστῶν ὁ ὄχλος
ταῦτα δὲ, ἅπερ ἔγραψα οὐκ εἰσὶ μοναζόντων,
ἀλλὰ ἁπάντων τῶν πιστῶν καὶ Χριστοῦ τῆς μερίδος.
Τῶν μοναχῶν, ὡς ἔφην δὲ, ἄλλος ὑπάρχει βίος,
διότι ἀπηρνήσαντο τὸν πάντα κόσμον οὗτοι
καὶ ἔχουσιν ἀκρίβειαν φοβερὰν καὶ μεγάλην·
καὶ γὰρ μετὰ τῶν ἄνωθεν γραφέντων ἐνταλμάτων
πλείονα τὴν ἀκρίβειαν προσαπαιτοῦνται οὗτοι
ἀκτημοσύνην παντελῆ, παρθενίαν εἰς ἄκρον,
ἐγκράτειάν τε τῶν παθῶν ὁμοῦ καὶ τῶν βρωμάτων·
αἰσθήσεις χαλιναγωγεῖν, τῶν κακῶν τι μὴ πράττειν·
ὁρᾶσιν, ὄσφρησιν, ἀφήν, ἀκοὴν καὶ τὴν γεῦσιν·
τὴν ψαλμῳδίαν ἄπαυστον καὶ πολλὴν ἀγρυπνίαν,
χαμευνεῖν καὶ ξηροκοιτεῖν καὶ ἀλουσίαν ἔχειν·
συνδιαιτᾶσθαι γυναιξὶν ἡ ὅλως σχεῖν φιλίαν
ἀπαγορεύει ὁ κανὼν τοῖς μοναχοῖς τελείως·
μὴ μᾶλλον δὲ προσομιλεῖν ἢ ὅλως συνοδεύειν·
παιδία μὴ προσίεσθαι ἢ ὅλως συνδιάγειν,
καταλαλεῖν ἢ λοιδορεῖν ἢ ὅλως κατακρίνειν
πᾶσι πιστοῖς κεκώλυται, πόσῳ γε μᾶλλον τούτοις·
ὀμνῦναι ἢ ἐπιορκεῖν ἀπηγόρευται πάντῃ·
φιλάργυρον ἢ φίλαυτον οὐ δεῖ μοναχὸν εἶναι.
Καὶ ἵνα τί φιλολογῶν τὸν καιρὸν ἀναλίσκω;
Εἰ βασιλείας οὐρανῶν ἐπιτυχεῖν ἐθέλοις,
ἀπέχου πάντων τῶν κακῶν καὶ τῶν καλῶν ἀντέχου·
ἀδύνατον γὰρ πέφυκε καὶ δυσχερὲς εἰς ἅπαν
φιλήδονον ὑπάρχοντα ἢ κενόδοξον ὅλως

ἐπιτυχεῖν τῆς ἀληθοῦς ζωῆς, τῆς αἰωνίου.
Καὶ ταῦτα μέν σοι ἔγραψα ἐκ τῶν πολλῶν ὀλίγα,
σὺ γὰρ ἐπίστασαι καλῶς τὴν ἐμὴν ἀγροικίαν·
καὶ γὰρ πάλιν ἐπείγομαι εἰς ὑπόθεσιν ἄλλην,
δηλοποιῆσαι ἀμυδρῶς πῶς ὀφείλεις διάγειν
εἰς εὐχήν, εἰς ἐγκράτειαν, εἰς ἀληθῆ νηστείαν,
ἔτι δὲ δίαιταν ἁπλῶς φημὶ τοῦ ὅλου χρόνου,
ἀρχὴν τοῦ ὅλου θέμενος εἰς ἀρχὴν τῆς ἰνδίκτου.
Ὅθεν καὶ δεῖ σε φυλακὴν ἔχειν ἐν τῇ νηστείᾳ·
νηστείαν δὲ ποίαν φημί; Τῶν ἡμερῶν τῶν δύο
τετράδος καὶ παρασκευῆς, ὡς οἱ πατέρες φάσκουν,
ἰχθύων τε ἀπέχεσθαι, ἐλαίου τε καὶ οἴνου
ξηροφαγίαν λύοντες ἅπαξ, ἐν τῇ ἐννάτῃ.
Ἀλλά γε σύ, ὡς ἀσθενής, οἴνῳ ὀλίγῳ χρήσῃ·
εἰδὲ καὶ τούτου δυνηθῇς ἀπέχεσθαι τὴν χρῆσιν
πλείονα σχεῖς ὠφέλειαν, ὡς ἐντολὴν πληρώσας.
Οἱ θεῖοι γὰρ ἀπόστολοι ἐν ταύταις ταῖς ἡμέραις
ἀλλά γε καὶ οἱ μετ' αὐτοὺς θεοφόροι πατέρες
ἀκρίβειαν ὁρίζουσι φοβερὰν καὶ μεγάλην,
ἄρτῳ καὶ μόνῳ τρέφεσθαι ἁλί τε καὶ λαχάνοις
καὶ τὸ πόμα ὡσαύτως τε ὕδωρ καὶ μόνον ἔστω·
εἰ μή που δι' ἀσθένειάν τις ἀδυνάτως ἔχοι,
οἴνῳ ὀλίγῳ χρώμενος, διὰ τὴν ἀρρωστίαν·
τῶν δὲ λοιπῶν, ὡς γέγραφα, ἀπέχου πάμπαν ὅλως,
εἰ μή πού τις ἀσθένεια καὶ ἀφορμὴ ἐπέλθοι·
ἀλλ' οὖν ἡ οὐχ ὡς ἔτυχεν. ἀλλ' ἀναγκαία πάνυ.
Καὶ ταῦτα γέγραφα ἁπλῶς περὶ τοῦ ὅλου χρόνου·
αὕτη δὲ ἡ ἀκρίβεια τῶν νηστειῶν, ὧν γράφω,
οὐ πρὸς ἡμᾶς τοὺς μοναχοὺς ἐγράφησαν καὶ μόνους,
ἀλλὰ πρὸς πάντας τοὺς πιστοὺς τῆς τοῦ Χριστοῦ μερίδος.
Πρὸς ἡμᾶς δὲ τοὺς μοναχοὺς οἱ ἅγιοι πατέρες
μονοσιτείαν γράφουσιν ἔχειν τὸ καθ' ἡμέραν,
σάββατον καὶ κυριακὴν τὸ μὴ νηστεύειν ὅλως.

Νῦν οὖν λοιπὸν ἀπάρξομαι τοῦ γράφειν ὧδε πάλιν
τὰς ἑορτάς, ἃς λέγομεν δεσποτικὰς οἱ πάντες
καὶ λύομεν ἐν ἅπασιν εἰς βρῶσίν τε καὶ πόσιν.
Καὶ προτιθέσθω πρότερον γέννησις τῆς Παρθένου
καὶ θεοτόκου ἀληθῶς τῆς παναγνου δεσποίνης·
ὡσαύτως εἴσοδος αὐτῆς εἰς ναὸν τοῦ Κυρίου·
λοιπὸν ἡ τοῦ Δεσπότου μου γέννησις κατὰ σάρκα,
καὶ τούτου πάλιν βάπτισις δι' ἡμᾶς τοὺς φθαρέντας,
ἀνακαινίσαι θέλοντος ἐν ῥείθροις Ἰορδάνου·
ἡ τούτου οὖν εἰσένεξις εἰς ναόν τε τὸν θεῖον,
ἣν πάντες ὀνομάζομεν ὑπαπαντὴν Κυρίου.
Σὺν ταύταις ἡ ἐν τῷ Θαβὼρ ἔλλαμψις τοῦ Δεσπότου,
Χριστοῦ γὰρ οὕτω λέγομεν μεταμόρφωσιν θείαν.
Τῆς παναμώμου καὶ μητρὸς τοῦ Θεοῦ κατὰ σάρκα
ἡ κοίμησις ἡ ἔνδοξος καὶ ξένη ἐκδημία,
ἐν ᾗ νηστεία πρὸ αὐτῆς κανονικῶς τελεῖται.
Ἀρχὴν καὶ τέλος εἴληφαν αἱ πάντιμοι καὶ θεῖαι
τῆς Θεοτόκου ἑορταὶ καὶ μητρὸς τοῦ Κυρίου.
Ἀρχὴν ἔσχεν ἡ γέννησις· ἡ κοίμησις τὸ τέλος·
προσκείσθωσαν αὐταῖς λοιπὸν αἱ δύο τοῦ Προδρόμου·
ἡ γέννησις· ἡ πάντιμος καὶ παράδοξος ὄντως,
τῆς κεφαλῆς ἡ ἐκτομή, ἣν ὑπέστη ἀδίκως.
Ἐπισυνάψεις οὖν αὐταῖς τῶν θείων ἀποστόλων,
Παύλου, φημί, τοῦ κήρυκος· Πέτρου τοῦ κορυφαίου.
Ἐν ταύταις οὖν ταῖς ἑορταῖς, εἰ μέλλεις καταλύειν,
ἐν αἷς εἰ τύχοι ἡ τετρὰς τῶν ἡμερῶν ἢ ἕκτη,
ὀψάριον καὶ ἔλαιον κατέλυε καὶ μόνον,
εἰ δέ γε θέλεις καὶ τυρὸν οὐδέν μοι διαφέρει·
ἐν μόναις δὲ ταῖς τέσσαρσιν οὕτως ἐστιαθήσῃ·
ἐν τῇ γεννήσει τοῦ Χριστοῦ καὶ τῶν Θεοφανίων,
ναὶ μὴν καὶ τῇ ὑπαπαντῇ καὶ τῇ μεταμορφώσει
καὶ ταῖς λοιπαῖς ἀρκέσθητι εἰς ἰχθύας καὶ οἶνον.
Ἀλλ' ὡς οὐ κανονίζοντες οὐδὲ νομοθετοῦντες,

οὐδὲ πρὸς τὴν ἀκρίβειαν τὴν τῶν πατέρων λέγω,
ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν γράφω.
Τὰς δὲ λοιπὰς τῶν ἑορτῶν, ἐν αἷς ἐστιν ἀργία,
ἀργίαν δὲ ποίαν φημὶ τῶν ἀργειῶν τοῦ ἔργου,
καὶ τίνες δὲ ὑπάρχουσιν, ἀπαριθμῶμαι ἤδη:
τῶν ἀποστόλων τῶν σεπτῶν καὶ μύστων τοῦ Κυρίου
ἡ δωδεκὰς ἡ θαυμαστὴ, ἡ πάντιμος καὶ θεία,
καὶ τῶν μαρτύρων τῶν στερρῶν, ὧν ἐξόχως αἱ μνῆμαι,
σὺν τούτοις τῶν ἱεραρχῶν καὶ ἱερομαρτύρων,
ἀσκητῶν ἡ ὁμήγυρις προεχόντων τῶν ἄλλων.
Ἐν ταύταις οὖν ταῖς ἑορταῖς ἔκλυε τὴν νηστείαν
εἰς βρῶσιν μόνον ἔλαιον, καὶ τὴν πόσιν εἰς οἶνον,
ἄλλο δέ τι μὴ ἅψαι σε ἐν ταύταις ταῖς ἡμέραις.
Καὶ μή μοι μέμφοιο λοιπὸν ὡς ἀκριβολογοῦντα,
καὶ τῶν πολλῶν μὴ φθέγγεσθαι τοὺς πόνους καὶ
[τοὺς λόγους,
ἀλλὰ σαυτὸν εὐτρέπιζε πρὸς τῇ μελλούσῃ κρίσει,
ἐν ᾗ οὐκ ἔστι πρόφασις, οὐδ' ἀπόκρισις λόγων·
ἐγὼ δὲ περὶ τούτων νῦν καταπαύσω τῶν λόγων,
ἀρκέσθητι οἷς ἔγραψα καὶ μηδὲ πλέον ζήτει,
εἰδὼς τὴν ἀγροικίαν μου καὶ τὸ στενὸν τοῦ λόγου·
ὑπόθεσις γὰρ πρόκειται πλεῖον τῶν γεγραμμένων,
καὶ δὴ λοιπὸν ἀπάρξασθαι γράφειν καὶ ταύτην πάλιν.
Σαρακοστὴ εἰσέρχεται ἁγία καὶ μεγάλη
καὶ ταύτης ἡ ὑπόθεσις, ὥσπερ ἄνωθεν εἶπον·
καὶ μή σοι δόξῃ περιττὸν ὃ μέλλω γράφειν ἄρτι·
ἄλλον σκοπὸν ἐγράψαμεν, ἄλλης νηστείας ὅρον.
Τῆς νῦν λοιπὸν ἡ δίαιτα ὅλως ἐξηλλαγμένη,
διότι καὶ πανθαύμαστος καὶ φοβερὰ τυγχάνει,
καὶ γνώσῃ τοῦτο ἀκριβῶς, εἰ νουνεχῶς προσέχεις.
Τὸ πρῶτον τοίνυν στάδιον τῆς πρώτης ἑβδομάδος
οἱ πλείους τῶν ἀγωνιστῶν ἄσιτοι περαιοῦσι·
σὺ δὲ, ὡς ἀσθενέστερος, ἄρτον καὶ ὕδωρ λήψῃ

παραμικρὸν τῆς χρείας σου, ἐσθίων καθ' ἑσπέραν,
ὡς ἔφη ὁ πατὴρ ἡμῶν Θεόδωρος ὁ μέγας.
Τὰς πέντε τοίνυν φύλαξον ἡμέρας, ὡς προέφην,
τὰς δὲ δύο κατάλυσον εἰς ἔλαιον καὶ οἶνον
καὶ εἴ τι ἄλλο εὑρεθῇ ἐκ τῶν ὀστρακοδέρμων.
Ὅταν δ' ἡ πέμπτη ἑβδομὰς, σὺν Θεῷ πέρας λάβῃ,
τὰς τρεῖς ἡμέρας φύλαξον τῶν λοιπῶν ἑβδομάδων:
τετράδα καὶ παρασκευὴν, φημὶ, καὶ τὴν δευτέραν
τὰς δὲ δύο κατάλυσον εἰς οἶνόν τε καὶ μόνον·
εἰ δὲ καὶ ταύτας δύνῃσαι φυλάττειν, ὡς τὰς ἄλλας,
ἕξεις πλείονα μισθὸν ὡς ἐντολὴν φυλάξας·
σάββατον καὶ κυριακὴν λύε, ὡς προεγράφη·
ἰχθύος μὴ καθάψεσαι ἐν ταύταις ταῖς ἡμέραις,
εἰμὴ τοῦ Εὐαγγελισμοῦ τὴν ἑορτὴν καὶ μόνην.
Τὴν δὲ σεπτὴν καὶ πάντιμον μεγάλην ἑβδομάδα,
ὡς τοῦ Κυρίου ἔχουσαν τὸ σωτήριον πάθος
οὕτω σε δεῖ φυλάξασθαι, ὡς οὐδεμίαν ἄλλην:
ἅπαξ καὶ μόνον λῦσαι δεῖ τῇ ἑβδομάδι ταύτῃ
εἰ ἐν μιᾷ τῶν ἡμερῶν ἑορτὴ ἀπαντήσῃ·
ἑορτὴν δὲ ποίαν φημί; τὴν κεφαλὴν ἁπάντων
ἐν ᾗ ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου κόρης·
ἀλλ' οὐκ ἰχθύος, ὥς τινες· ἀλλ' ἔλαιον καὶ οἶνον·
τὰς δὲ λοιπὰς τῶν ἡμερῶν παρέλκον ἐστὶ γράφειν·
μᾶλλον μὲν οὖν, εἰ δύνασαι, τὰς δύο μοι συνάψας
παρασκευὴν καὶ σάββατον ἄσιτον διαμεῖναι,
ἕως τὸ τέλος δέξηται ἡ θεία λειτουργία
καὶ οὕτως ἐστιάθητι εὐχαριστῶν Κυρίῳ.
Ἰδοὺ λοιπὸν ἐφέστηκεν ἡμέρα λαμπροφόρος,
ἡ τοῦ Χριστοῦ ἀνάστασις, πιστῶν ἡ εὐφροσύνη·
πατήσας γὰρ τὸν θάνατον, ὡς Θεὸς καὶ δεσπότης,
ἐξανέστη τριήμερος, ὥσπερ πάλαι προεῖπεν.
Ἀπόθου τοίνυν καὶ αὐτὸς τὸν πενθήρη χιτῶνα
καὶ τὴν νηστείαν σχόλασον· οὐκ ἔστι γὰρ νηστεία,

ἀλλ' εὐφροσύνη καὶ χαρὰ, ὡς μοναχοῖς ἁρμόζει.
Ἐνταῦθα δὲ γενόμενος βούλομαί τι προσθεῖναι
ἐκ τῶν πανσόφων καὶ χρυσῶν τοῦ Χρυσοστόμου λόγων·
ἐκεῖνος γὰρ ἐρθέγξατο εἰς ἕνα τούτων οὕτω:
εἰ καὶ παρῆλθεν ὁ καιρὸς τῆς παντίμου νηστείας,
ἀλλ' ἡ αὐτῆς ὠφέλεια ἐν ἡμῖν ἀεὶ ἔστω.
Ὅθεν κἀγώ σοι παραινῶν ταῦτα ὧδέ πως γράφω:
εἰ τάχα καὶ παρήλασεν ὁ τῆς νηστείας χρόνος,
ἀλλὰ τῆς ἐγκρατείας γε παρέδραμεν οὐδόλως·
καὶ δεῖ ταύτην ἀσφαλῶς ὡς τιθηνὸν κατέχειν·
κἂν δὲ διέλθ' ἡ ἑβδομὰς τῆς διακαινισίμου,
μονοπροσώπως φύλαττε τετράδα καὶ τὴν ἕκτην,
τυροῦ ἀπέχου, καὶ ὠοῦ, καὶ τῶν λοιπῶν μηκέτι·
ἀλλ' ἔσο νῦν ἐλεύθερος ἐν ταύταις ταῖς ἡμέραις·
νηστεία γὰρ οὐ γέγραπται, οὐδὲ γονυκλισία,
ταύτας γὰρ τὰς πεντήκοντα οἱ ἅγιοι πατέρες
ἀνακυκλοῦντες, ἔφησαν ἡμέραν εἶναι μίαν·
καὶ περὶ τούτων δὲ λοιπὸν ἀρκέσθητι ἐνταῦθα
ἀγὼν γάρ μοι ἐπίκειται πάλιν ἐντεῦθεν ἄλλος.
Αἱ δύο τεσσαρακοσταὶ κατελείφθησαν οὕτω
μᾶλλον δὲ ἡ τὸν αὔγουστον τελουμένη νηστεία,
ἣν πολλοὶ ἀβροδίαιτοι διαβάλλουσι πάμπαν
καὶ περὶ τούτων δεῖ εἰπεῖν, ὡς δυνατὸν ὑπάρχει,
καὶ πρότερον δηλώσωμεν περὶ τῶν Χριστοῦ γέννων.
Παράδοσιν ἐλάβομεν ἐκ τῶν ἔκπαλαι χρόνων
ἐν ταύτῃ τῇ σαρακοστῇ μονοσιτίαν ἔχειν,
ἀλλ' οὐδ' ἰχθύων ἅπτεσθαι ἐν ταῖς τρισὶν ἡμέραις
δευτέραν, τρίτην, λέγω δὴ σὺν αὐταῖς καὶ τὴν πέμπτην
τετάρτην καὶ παρασκευὴν οὐκ ἔλαιον, οὐκ οἶνον,
σαββάτῳ καὶ κυριακῇ μεταλαμβάνειν πάντων·
καὶ ἅλις μὲν περὶ αὐτῆς, οὐ γὰρ δεῖ πλέον γράφειν,
ἀνάγκη τοίνυν διελθεῖν περὶ τῶν τελευταίων,
τῶν ἀποστόλων τε φημὶ καὶ τῆς πανάγνου κόρης·

συνήθεια κεκράτηκεν ἐν ταῖς νηστείαις ταύταις
ὀψὲ τῆς ἡμέρας ἐσθίειν, οὐκ οἶδ' ὅθεν λαβόντες,
οἶμαι δὲ διὰ τὸν καιρὸν, ὄντα καυσώδη τότε.
Ἀλλ' οὐ τῇ συνηθείᾳ δεῖ προσέχειν ἡμᾶς ὅλως,
οὐδὲ τὸ πῶς καὶ διατί πράττεται τοῦτο λέγειν,
ἀλλ' ἐρευνᾶν καὶ ἀκριβοῦν τοὺς λόγους τῶν πατέρων
καὶ τοὺς κανόνας τῶν σοφῶν καὶ θείων ἀποστόλων,
δι' ὧν καὶ τὸν ἡμέτερον οὕτω ῥυθμίζειν βίον.
Ὅμως καὶ τὴν ἀκρίβειαν καὶ τούτων ἔχειν θέλεις
ζήτησον ὄπισθεν μικρὸν ἐν τῇ τῶν Χριστοῦ γέννων,
κἀκεῖ εὑρήσῃ ὁ ζητεῖς καὶ ὅπερ βούλει πράττε.
Κἀνταῦθα ἐβουλόμην νῦν καταπαῦσαι τὸν λόγον,
ἀλλὰ βία μοι πρόσεστι μικρά τινα προσθεῖναι,
δέδοικα δὲ μὴ φορτικὸς φανοῦμαί σοι ἐν τούτοις.
Γονυκλισίας δεῖ ποιεῖν πάντα τὸν χρόνον ὅλον,
εἰ μή που τύχοι ἑορτὴ, νηστείας μὴ παρούσης,
ἐν ᾗ ἀργία γίνεται τῶν ὡρῶν καὶ τοῦ ἔργου.
Μὴ φοβηθῇς τὸν ἀριθμόν· ὀλιγοστὸς ὑπάρχει.
Δώδεκα μέλλεις ἀριθμεῖν ἐν ταῖς λυταῖς ἡμέραις,
τὰς δέ γε τεσσαρακοστὰς ψηφίζειν δεκαπέντε·
ἐν τῇ τῶν Χριστοῦ γέννων τε καὶ τῶν δύο λοιπῶν σοι·
τὴν δ' ἄλλην τεσσαρακοστὴν, ἧς ἡ κλῆσις μεγάλη,
διπλασιάζεις ταύτας γὰρ εἴπερ καὶ οὐκ ὀκλάζεις·
εἰ καὶ βαρύ σοι φαίνεται τοῦ ἐκμετρεῖν τοσαύτας,
κἂν τὰς εἰκοσιτέσσαρας πλήρωσον, δίχα λόγου·
οὐ γὰρ ἅπαξ ἢ δεύτερον τῆς ἡμέρας τελέσεις,
ἀλλ' ὡς ἐδίδαξεν ἡμᾶς Δαυὶδ ὁ θεοπάτωρ·
Θεὸν ὑμνεῖν προτρέπεται ἑπτάκις τῆς ἡμέρας·
ψηφίσας οὖν, ὡς νουνεχὴς, εὑρήσεις ὅπερ λέγω.
Ἀπὸ φωτὸς ἀπάρξομαι καὶ λήξω εἰς τὸ σκότος·
ὄρθρος καὶ πρώτη, τρίτη τε, ἕκτη καὶ ἡ ἐννάτη,
ἑσπερινὸν, ἀπόδειπνον, σὺν τῷ μεσονυκτίῳ,
εἴ τι προσθήσω οὖν λοιπὸν σὺν τούτοις ἀναγκαῖον

καὶ μὴ μεμφθῶ, ὡς ὕστερον τοῦτο διασαφήσας·
τὴν ἑβδομάδα λέγω δὴ τὴν πρὸ τῆς ἀποκρέου,
ἣν καὶ ἐπονομάζουσι τὴν τοῦ ἀρτσιβουρίου,
οἱ πλεῖστοι ἔθος ἔλαβον ἀδεῶς καταλύειν
τετράδα καὶ παρασκευὴν οἱ κοσμικοὶ τὸ κρέας,
ὡσαύτως καὶ οἱ μοναχοὶ τυροῦ μεταλαμβάνειν,
κακῶς νοοῦντες ἀληθῶς καὶ πράττοντες ὁμοίως.
Εἰ μὲν φυλῆς κατάγονται ἐκ τῆς τῶν Ἀρμενίων
καὶ εἶχον καὶ τὴν αἵρεσιν τὴν τοῦ ἀρτσιβουρίου
καλῶς ποιοῦσι λύοντες ἅπασαν ὑποψίαν·
εἰ δὲ πιστοὶ ὀρθόδοξοί εἰσι καὶ ἐκ προγόνων,
εἰς μάτην προφασίζονται λύοντες τὴν νηστείαν·
ἐκεῖνοι γὰρ νηστεύουσιν ὅλην τὴν ἑβδομάδα,
ἄρτῳ μόνῳ τρεφόμενοι, ὕδατι, ἅλατί τε,
ἡμεῖς δὲ καταλύομεν ἀπ' αὐτῆς τῆς δευτέρας·
λοιπὸν ἐκ τούτου δείκνυμεν μὴ κοινωνοῦντες τούτοις
καὶ μάτην προφασίζονται οὗτοι τὸν Ἀρτσιβοῦρον.
Ἐπεὶ δὲ ἔλαθεν ἡμᾶς ὑπόθεσις μικρά τις,
διασαφῆσαι ἔρχομαι καὶ περὶ ταύτης οὕτω.
Τῆς τυρινῆς ἡ ἑβδομὰς λελυμένη ὑπάρχει,
καὶ ἡ τετρὰς τῶν ἡμερῶν, ὡσαύτως καὶ ἡ ἕκτη.
Καὶ πόθεν δῆλον πέφυκε τοῦτο; εἰποί τις ἴσως·
Ἰακωβῖται, ὡς φασί, τὴν ἑβδομάδα ταύτην
ὁλόαγνον φυλάσσουσι καὶ καθαρὰν τελείως,
ἄρτου μόνον γευόμενοι καὶ ὕδατος ὁμοίως,
καὶ διὰ τοῦτο ὁ καλὸς τῷ ὄντι Νικηφόρος
ὁ Κωνσταντινουπόλεως ὁ μέγας ἱεράρχης
κανονικῶς παρέδωκε τοῦ καταλύειν ταύτας,
ἀνατρέπων τὰ δόγματα αἱρέσεων τῶν δύο,
τοῦ Ἰακώβου τε, φημί, σὺν καὶ τοῖς τετραδίταις.
Ὅθεν τὰ μοναστήρια οὕτως ἔχουσιν ἔθος·
τὴν ἐννάτην πληρώσαντες καὶ ὕμνον τῆς ἑσπέρας,
οὕτως εἰσέρχονται λοιπὸν ἐν τῇ κοινῇ τραπέζῃ

τυροῦ μεταλαμβάνοντες, ἰχθύων τε καὶ οἴνου.
Ἡμεῖς μὲν γὰρ ἐγράψαμεν ὡς εὕραμεν ἐγγράφως·
εἰ δέ τις οὐ προσίεται, οὐδὲ πιστεύει ταῦτα,
ὡς θέλει καὶ ὡς βούλεται οὕτω καὶ πορευέσθω.
Προσθήσω τοίνυν ἕτερον δι' ἄλλην ἑβδομάδα,
ἣν καὶ ἐπονομάζομεν τὴν τῶν Ἁγίων πάντων·
τινὲς ὑπολαμβάνουσι μὴ εἶναι λελυμένην,
κακῶς ὑποτοπάζοντες καὶ ὅλως ἀγνοοῦντες·
οἱ θεῖοι γὰρ ἀπόστολοι καὶ νομοθέται πάντων
καὶ περὶ ταύτης ἔγραψαν τοῦ εἶναι λελυμένην.
Ἀλλ' ἴσως ἀντιφθέγξοιτό τις τῶν γνωστικωτέρων·
καὶ ποῦ ταύτης ἐμνήσθησαν οἱ μαθηταὶ τοῦ λόγου.
Ἐρευνησάτω ἀκριβῶς καὶ πάντως εὕρῃ τοῦτο·
ἀδυνατῶ γὰρ ἐν λεπτῷ πάντα ἀναδιδάσκειν·
οἱ δὲ φιλοπονώτερον τὴν Γραφὴν ἐρευνῶντες
πληροφορίαν λάβωσιν ἐξ αὐτῆς τὴν τελείαν.
Ταῦτά σοι τοίνυν ἔγραψα ἐκ τῶν πολλῶν ὀλίγα,
ἀλλ' οὖν διαμαρτύρομαι καὶ βεβαιῶ σοι τοῦτο·
εἰ τούτων φύλαξ τε φανῇς ἐγγυῶμαί σοι ταῦτα·
στάσεως τῆς ἐκ δεξιῶν τοῦ Σωτῆρος τυχεῖν σε
καὶ σὺν αὐτῷ κληρονομῶν καὶ πᾶσι τοῖς ἁγίοις
βασιλείαν τῶν οὐρανῶν καὶ ζωὴν τὴν ἀγήρω.
Ἰδοὺ τοίνυν πεπλήρωκα τὴν αἴτησίν σου, τέκνον,
ὡς ἐφικτὸν ὑπάρχει μοι καὶ δυνάμεως εἶχον,
σὺ γὰρ καλῶς ἐπίστασαι τὸ πάμπαν ἄμουσόν μου
καὶ ὅλως ἰδιωτικόν, πρὸς τὸ τοιαῦτα γράφειν.
Εἰ δὲ τὸ κατὰ δύναμιν φίλον Θεῷ ὑπάρχει
δέξαι καὶ σὺ ὡς ἀγαθὴν τὴν παραίνεσιν μόνην.
Ἐνταῦθα σταίημεν λοιπὸν τοῦ σκοποῦ καὶ τοῦ λόγου.
Εἰ μὲν ἀποδεκτέα σοι, Θεῷ χάρις ἐν τούτῳ,
εἰ δὲ πολλάκις φορτικά, ὡς βούλει λοιπὸν πράττε.
Ὁ δὲ τῶν πάντων Κύριος καὶ Θεὸς καὶ δεσπότης,
ὁ θέλων πάντας σώζεσθαι διὰ φιλανθρωπίαν,

αὐτὸς καὶ σὲ στηρίξειεν ἐν ἀγαθοεργίᾳ,
τοῦ πληρωτὴν γενέσθαι σε τῶν αὐτοῦ ἐνταλμάτων
καὶ βασιλείας οὐρανῶν ὀφθῆναι κληρονόμον,
ἐν Χριστῷ τῷ κυρίῳ μου· ᾧ δόξα καὶ τὸ κράτος,
εἰς αἰῶνας αἰώνων τε καὶ ἐπ' αἰώνων. Ἀμήν.

ΕΡΩΤΗΣΕΙΣ ΜΟΝΑΧΩΝ ΑΓΙΟΡΕΙΤΩΝ

ΠΡΟΣ ΤΟΝ ΑΓΙΩΤΑΤΟΝ ΠΑΤΡΙΑΡΧΗΝ

ΝΙΚΟΛΑΟΝ.

Ἀπὸ τῆς καθ' ἡμᾶς λαύρας ἀδελφοὶ ἀπεστάλησαν εἰς τὴν ἁγιωσύνην σου ἐρωτῆσαί τινα ἐγγράφως ζητήματα ὄντα παρ' ἡμῖν ἀναγκαῖα· ὃς καὶ ὑποστρέψας ἔδειξεν ἡμῖν τὸ ὑπομνηστικόν, ὃ ἐποίησε πρὸς τὴν ἁγιωσύνην σου, καὶ τὴν ἐξελθοῦσαν ὄπισθεν λύσιν ἔχουσαν οὕτως· Ὡς οὐ δεῖ καταλύειν τὴν νηστείαν ἐν τετραδοπαρασκευῇ χάριν μνήμης ἁγίου ἀποστόλου τινὸς εἰ μὴ μόνον ἐν ταῖς δεσποτικαῖς ἑορταῖς· καὶ ὅτι δεῖ εἰσιέναι τὸν μοναχὸν εἰς τὸ ἅγιον θυσιαστήριον εἰ κεκώλυται τῶν ἁγιασμάτων· ὁ γὰρ μοναχὸς ἀναγνώστου τάξιν ἐπέχει· καὶ ὅτι δεῖ νηστεύειν τὰς παραδεδομένας νηστείας καὶ ἐν αὐτῇ τῇ Πεντηκοστῇ καὶ τῷ δωδεκαημέρῳ, χωρὶς τῆς ἑβδομάδος τῆς διακαινησίμου· καὶ ὅτι οὐ δεῖ κλίνειν γόνυ ἐν σαββάτῳ, οὔτε φυλάττειν ἐξ ἀρχῆς τοῦ αὐγούστου καὶ μέχρι τῆς ιε' αὐτοῦ νηστείαν. Πρὸς ταῦτα διαπορήσαντες ἡμεῖς ἢ τὸν μοναχὸν διαψεύδεσθαι ἢ ἡμᾶς ἐσφάλθαι ὑπελάβομεν· διὸ καὶ ἐγράψαμεν νῦν ταῦτα πρὸς τὴν σὴν ἁγιότητα ὡς ἂν μάθωμεν περὶ αὐτῶν ἀκριβέστερον· τὸ γὰρ καταλύειν τὴν νηστείαν ἐν ταῖς τῶν μεγάλων καὶ ἁγίων ἀποστόλων ἑορταῖς εὑρίσκομεν ἐν τοῖς τυπικοῖς συναξαρίοις τοῦ τε ἁγίου Θεοδώρου τοῦ Στουδίτου καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀθανασίου καὶ ἄλλων πολλῶν, ὅπερ οὐ διαλανθάνει τὴν ὑμετέραν ἁγιωσύνην· ὡσαύτως τὴν Πεντηκοστὴν καὶ ἅπαν τὸ δωδεκαή-

μερον· περὶ τούτων καὶ ὁ ἅγιος Ἀθανάσιος τάδε φησὶν ἔν τισι τῶν συγγραμμάτων αὐτοῦ, ὅτι οὐ δεῖ παραβαίνειν νηστείαν Κυρίου τὸν μοναχὸν ἢ τὸν ἱερέα· τουτέστι τετράδα καὶ παρασκευήν, εἰ μὴ ἐπὶ νόσῳ βεβάρηται, χωρὶς τῆς Πεντηκοστῆς καὶ τῶν Ἐπιφανίων· καὶ πάλιν τὰ αὐτὰ γράμματα περὶ νηστείας τῆς ἐν τετράδι καὶ παρασκευῇ· οἱ γὰρ Θεοκήρυκες ἀπόστολοι πᾶσαν ἁπλῶς τετράδα καὶ παρασκευὴν δεῖν εἶπον νηστεύειν τὸν πιστόν, εἰ μὴ δι' ἀσθένειαν κωλύει τις ἀλλ' οὐχὶ τήνδε ἢ τήνδε· ἐν δὲ ταῖς τῶν ἁγίων μνήμαις οὐχὶ καταλύειν τὰς νηστείας ἀλλ' ἐκ τῶν ἔργων σχολάζειν ἐπέταξαν· τὸν δὲ μοναχὸν μὴ εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον καὶ μάλιστα τεθρονιασμένον σκοποῦμεν ἀπὸ τοῦ ΛΓ΄ κανόνος τῆς ἐν Τρούλῳ συνόδου, μὴ παραχωρούσης ἐπὶ ἄμβωνος ψάλλειν ἢ ἀναγινώσκειν ἀσφράγιστόν τινα ἢ μοναχὸν, καὶ εἰ ἐπὶ τούτου οὐ παραχωροῦσι, πολλῷ μᾶλλον εἰς τὸ θυσιαστήριον εἰσιέναι· ὡσαύτως καὶ ὁ τῆς ἐν Λαοδικείᾳ ΝΒ΄ κανὼν καὶ ὁ ΙΕ΄ περὶ τούτου λέγουσι καὶ ὁ τῆς ἐν Νικαίᾳ Α΄ συνόδου Β΄ καὶ ΙΔ΄ κανόνων σαφῶς περὶ ἀναγνωστῶν καὶ μοναχῶν λέγουσι. Τὸ μὲν δίχα χειροθεσίας ἐπὶ ἄμβωνος τὰς ἀναγνώσεις ποιεῖσθαι πανταχοῦ κεκώλυται· τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι μοναχοὺς ἁπλῶς χάριν ἐφάψεως κηροῦ ἢ λύχνου τοὺς μηδενὶ ἐγκλήματι γενομένους ἐνόχους οὐκ οἶμαι δεῖν κωλυθῆναι διὰ τὴν ἐκ τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

Ἐρώτησις.

Περὶ τοῦ δεῖν κλίνειν γόνυ ἐν σαββάτῳ ἡ ἐν Νικαίᾳ σύνοδος καὶ ἡ ἐν Τρούλῳ διωρίσαντο, μεθ' ὧν καὶ ὁ μέγας Ἀθανάσιος ταδί φησι· μή τίς σε πλανήσῃ τὸ παράπαν ἐν κυριακῇ γονυπετεῖν, ἢ ἐν πεντηκοστῇ· καὶ περὶ σαββάτου οὐκ εἶπεν.

---

* φαίνονται ἐντεῦθεν ἀρχόμεναι αἱ κανονικαὶ ἀποκρίσεις τοῦ πατριάρχου.

Λύσις.

Οὕτως ἔχει καὶ ἡ ἀλήθεια, πλὴν οἱ πολλοὶ διὰ τὸ μὴ γίνεσθαι νηστείαν ἐν σαββάτῳ, καὶ τὴν γονυκλισίαν παρῆκαν.

Ἐρώτησις.

Περὶ δὲ τῆς εἰς τὸν αὔγουστον μῆνα νηστείας εὑρίσκομεν εἰς τὴν τῆς ἑνώσεως σύνοδον, τὴν γενομένην ἐν Κωνσταντινουπόλει περὶ τῶν τριγάμων, καὶ περὶ ταύτης μνήμην τινά. Ταῦτα ἀπορρήσαντες αἰτοῦμεν νῦν τὴν ἁγιωσύνην σου ἀπαλλάξαι ἡμᾶς τοῦ ἐνδυασμοῦ.

Λύσις.

Ἦν ἡ νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ, μετετέθη δὲ διὰ τὸ παρεμπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις, πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων διὰ τὸ καθαρεύειν τῶν ἀρρωστημάτων νηστεύουσι.

Ἐρώτησις.

Σὺν τούτοις ἀξιοῦμεν λυθῆναι καὶ τόδε· ἡ ἐν Νεοκαισαρείᾳ γενομένη ἁγία σύνοδος, εἰς κανόνας ἐννέα, καὶ ὁ μέγας Βασίλειος ἐν ταῖς πρὸς Ἀμφιλόχιον ἐπιστολαῖς αὐτοῦ εἰς κανόνας τρεῖς, οἱ μὲν περὶ τοῦ ἡμαρτηκότος ἱερέως, οἱ δὲ περὶ διακόνου μετὰ τὴν διακονίαν πορνεύσαντος· εἰ οὖν εὑρέθη τις προημαρτηκὼς πολλὰ ἢ ὀλίγα καὶ μετὰ τὴν χειροτονίαν τὸ αὐτὸ ποιήσας χρὴ τοῦτον ἀρκεσθῆναι μόνῃ τῇ ἀφαιρέσει τῆς χάριτος, κοινωνεῖν δὲ τῶν ἁγιασμάτων καὶ τῶν εὐχῶν;

Λύσις.

Ὁ πρῶτος κανὼν τῆς ἐν Νικαίᾳ συνόδου λύει τὴν ἀπορίαν εἰς τὸν τῆς μετανοίας τόπον ἱστῶν τὸν ἁμαρτήσαντα· καὶ οἱ τοῦ μεγάλου δὲ Βασιλείου τρεῖς οὐκ ἐπὶ τῆς συνηθείας μόνης ἵστανται ἀλλὰ καὶ τὴν ἀκρίβειαν ἐπιζητεῖ.

Ἐρώτησις.

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῶν ἁγιασμάτων· ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως. Δηλωθήτω οὖν ἡμῖν τὸ κρεῖττον.

Λύσις.

Εἰ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ τις ὡς δοκεῖν δαιμονᾷν, οὐ κωλυθήσεται· εἰ δὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστὶν ἥκιστα τῶν ἁγιασμάτων ἀξιωθήσεται· ὅτι οὐδὲ κοινωνία τις φωτὶ πρὸς σκότος.

Ἐρώτησις.

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ ἐκκλησίᾳ, οἷον προσφορὰς καὶ νάματα ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα καὶ ὅπου βούλεται καὶ ὡς βούλεται καὶ ὡς ἄρτον κοινὸν ἐσθίειν αὐτά, ἢ μετὰ προσοχῆς πολλῆς καὶ φειδοῦς καὶ ὀλίγον· εἰ δὲ περιτταί εἰσι τί χρὴ ταῦτα ποιεῖν· γίνονται γὰρ ἐνταῦθα μεγάλαι προσφοραὶ καὶ μερίζουσι ταύτας οἱ ἱερεῖς καὶ διδόασιν ᾧτινι βούλονται.

Λύσις.

Τὰ μὲν τῆς ὑψωθείσης κλάσματα οὐχί, ἀλλ' ἐν ἐκκλησίᾳ μόνον ἐσθίειν ἕς τ' ἂν ἅπαντα δαπανήσωσι· τὰ δὲ περιττὰ τῶν ἄλλων μὴ μετὰ γάλακτος καὶ τυροῦ καὶ ἰχθύων ἀλλ' ἀποτεταγμένως καὶ ἰδιαζόντως.

Ἐρώτησις.

Ἐὰν φθάσῃ δεσποτικῶν ἑορτῶν παραμονὴ ἐν τετραδοπαρασκευῇ χρὴ καταλύειν τὴν νηστείαν τῇ ἑσπέρᾳ διὰ τὴν παραμονήν;

Λύσις.

Οὐχί.

Ἐρώτησις.

Ἐάν τις ἀποκαρῇ ἐν Κωνσταντινουπόλει ἢ ἀλλαχοῦ κατὰ κόσμον καὶ δώσῃ τὰς συνθήκας ἐκεῖσε, βλάπτεται

δὲ ἴσως ψυχικῶς καὶ βουληθῇ ὑποχωρῆσαι διὰ τὴν βλάβην, γνῷ δὲ αὐτὸν ὁ ἡγούμενος καὶ δεσμήσει τί δεῖ ποιῆσαι τὸν ἀδελφὸν περὶ τῆς βλάβης καὶ τοῦ δεσμοῦ;

Λύσις.

Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι τὴν βλάβην καὶ οὕτως ἀναχωρεῖν.

Ἐρώτησις.

Ἀδελφός τις τῶν μεθ' ἡμῶν, πρότερον κατὰ κόσμον καθήμενος, πολλῶν ἀνεδέχετο λογισμούς, καίπερ μηδὲν τῶν κανονικῶν ἐπιστάμενος τάξεων, ἱερεῖς οὖν παραπεσόντας καὶ μοναχοὺς ὁμοίως παραδεξάμενος καὶ ἄλλα βαρέα ἐγκλήματα συνεχώρει πᾶσι μηδὲν ἄλλο ποιῶν· πάντων οὖν ἐκείνων τεθνηκότων, οὗτος εἰσελθὼν ἐνταῦθα καὶ τοὺς θείους κανόνας διερευνήσας τὴν ἑαυτοῦ βλάβην ἐπέγνω καὶ πλάνην. Δηλωθήτω οὖν παρὰ τῆς ἁγιωσύνης σου τῷ τοιούτῳ τί ὀφείλει ποιῆσαι περὶ τούτου.

Λύσις.

Ἵνα ποιῇ ὑπὲρ ἐκείνων καθ' ἑκάστην τρισάγια καὶ μετανοίας, ἐκτὸς ὧν ὀφείλει ὑπὲρ ἑαυτοῦ ποιεῖν.

Ἐρώτησις.

Ἀλλὰ καὶ τοὺς ἐπ' ἐγκλήμασι καθαιρεθέντας ἱερέας ἢ ἑκουσίως τὴν ἱερωσύνην καταλείψαντας χρὴ λέγειν τὸ: εὐλογητὸς ὁ Θεὸς, καὶ τὸ: ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, ἢ Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ἢ θυμιᾷν μετὰ θυμιατοῦ μὴ παρόντος ἱερέως, ἢ εἰσέρχεσθαι καὶ μεταλαμβάνειν ἔνδον τοῦ ἁγίου θυσιαστηρίου;

Λύσις.

Οὐχί· εἰς γὰρ τὸν τῶν λαϊκῶν κατενήνεκται τόπον.

Ἐρώτησις.

Τί ἐστιν ὃ εἶρηκεν ὁ ἅγιος Βασίλειος «ὁ ἐν χείλεσι μιανθείς ; »

Λύσις.

Οὐδὲν ἕτερον, οἶμαι, ἢ τὸ ἐμπαθῶς ἀσπάσασθαι.

Ἐρώτησις.

Ὡσαύτως ὅπερ λέγει ὁ αὐτὸς ἅγιος Βασίλειος εἰς τοὺς μικροὺς κανόνας, ὅτι ἔστω ἀπὸ εὐλογίας κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος ;

Λύσις.

Τὸ ἀποστερεῖσθαι τοῦτον τῆς διδομένης ἐν τῇ ἐκκλησίᾳ προσφορᾶς.

Ἐρώτησις.

Εἰ χρὴ τοὺς κεκωλυμένους ἀπὸ τῆς ἁγίας δωρεᾶς ἐσθίειν ὑψουμένην προσφορὰν ἤτοι προκεκομισμένην ;

Λύσις.

Εὑρίσκομεν ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδώρου τοῦ Σικεώτου τοὺς τοιούτους κωλυομένους· ἀλλὰ καὶ οἱ Ξεῖοι κανόνες τοὺς τοιούτους κωλύουσι.

Ἐρώτησις.

Καὶ περὶ τοῦ κανόνος τοῦ Νηστευτοῦ εἰ χρὴ μετ' αὐτοῦ κανονίζειν τοὺς ἀσθενεστέρους ἢ πάντας.

Λύσις.

Ἐπεκράτησε νῦν ἡ συνήθεια διὰ τῆς βίβλου ταύτης κανονίζεσθαι τοὺς πολλούς· πλὴν οἱ ἐν γνώσει τοῦ καλοῦ ὄντες καὶ σφαλλόμενοι διὰ τῆς κανονικῆς ἐπορθωθήσονται βίβλου.

Ἐρώτησις.

Ἀλλὰ καὶ περὶ τῶν τελευτώντων πατέρων καὶ ἀδελφῶν

ἡμῶν εἰ χρὴ τὰ τούτων ἑτέρωθεν μετακομίζεσθαι λείψανα καὶ κενοῦσθαι τοὺς τάφους, ἔνθα δὴ καὶ ἐνθάπτονται, εἴτε καὶ μή· ἀπὸ γὰρ τῶν πολλῶν πληροῦνται τὰ κοιμητήρια· ὅθεν καὶ ᾠκονομήθη ἐξ ἀρχῆς ἐνδότερος τόπος εἰς τὴν αὐτὴν ἐκκλησίαν, ἔνθα καὶ οἱ τάφοι εἰσί· καὶ ὅτε πληρωθῶσιν οἱ τάφοι τῶν λειψάνων γίνεται ἀνακομιδὴ καὶ τίθενται τὰ λείψανα ἐκεῖσε· ὃς καὶ περικεκλεισμένος ὢν ἔχει ἔνδοθεν κανδήλαν ἐπάνω τῶν λειψάνων διόλου ἅπτουσαν.

Λύσις.

Τὸ δι' οἰκονομίαν τινὰ γενόμενον καὶ εἰς ἀγαθὸν συντεῖνον σκοπὸν οὐδ' ἐνὶ τῶν συνετῶν ὑπό τινα αἰτίασιν καθίσταται· ὅθεν οὐδὲ τὸ περὶ τῶν τεθνεώτων παρ' ἡμῖν οἰκονομούμενον ὑπὸ μέμψιν τοῖς εὖ φρονοῦσι γενήσεται.

Ἐρώτησις.

Καὶ περὶ τῶν ποιούντων ἰδιοχείρους σταυροὺς καὶ παραιτήσεις ἡγουμενιῶν καὶ λοιπῶν τινῶν ἀθετούντων περὶ τὰ ἰδιόχειρα καὶ ἐγχειριζομένων πάλιν ἃ παρῃτήσαντο, εἰ χρὴ δέχεσθαι τούτους καὶ ποίας ἐντολῆς εἰσὶν ἄξιοι ;

Λύσις.

Ὁ μὲν πολιτικὸς νόμος προστίμοις οἶδε κολάζειν τοὺς τῶν μὴ παρανόμων ἐγγράφων ἀθετητάς· ὁ δὲ ἐκκλησιαστικός, εἰ μὴ προστίμοις τοῖς τῶν ἐγγράφων ὑποπεσεῖν ἔφθασαν, ἑτέρῳ ἐπάγει τὴν ἐπιτίμησιν, οὐκ ἀπὸ κανονικῆς διαταγῆς ἀλλ' ἐκ τῆς ἀρχιερατικῆς αὐθεντίας, πλὴν εἰ μὴ τῶν ἐγγράφων ἡ δύναμις σκοπευθῇ καὶ ἡ ἐκ τῆς ἀθετήσεως τούτων προσγινομένη τισὶ βλάβη· ἀδύνατον ἡμᾶς ἑτέρως τι ἀποκριθῆναι.

Ἐρώτησις.

Εἰ δεῖ τὰ διὰ Κλήμεντος ἀποστολικὰ βιβλία ἀναγινώσκεσθαι καὶ φυλάττεσθαι.

Λύσις.

Οὐχί, διὰ τὸ ἐν διαφόροις χωρίοις νοθευθῆναι.

Ἐρώτησις.

Πῶς νοητέον «δίκαιος ἀποθανὼν ἔλιπε μετάμελον» ;

Λύσις.

Ὁ δίκαιος ἀποθανὼν καὶ πάσας τὰς ἀρετὰς μεθ' ἑαυτοῦ λαβών, τὴν σωφροσύνην, τὴν ἁγνείαν, τὴν ἐλεημοσύνην, τὴν δικαιοσύνην, μετὰ τὰς λοιπὰς ἀρετάς, κατέλιπεν ἐν τῷ βίῳ τούτῳ τὴν μεταμέλησιν καὶ ἀνεληλύθει εἰς τοὺς οὐρανοὺς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πεπαρρησιασμένως μετ' εὐφροσύνης. Δίκαιος ἀποθανὼν κατέλιπε τοῖς ἀνθρώποις ἐν τῷ βίῳ τούτῳ μεταμέλειαν, ὀδυνομένοις ἐπὶ τῇ στερήσει τῆς διδαχῆς αὐτοῦ.

ΑΝΑΜΝΗΣΙΣ ΜΕΡΙΚΗ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ ΤΟΥ ΑΘΩ

ΕΚ ΠΑΛΑΙΩΝ ΙΣΤΟΡΙΩΝ

(Ἴδε σελ. 74 σημ. 25)

Μετὰ τὴν φρικτὴν ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἦσαν πάντες οἱ Ἀπόστολοι ὁμοθυμαδὸν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας Σιὼν, σὺν Μαριὰμ τῇ μητρὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· ἔβαλον οὖν κλήρους οἱ Ἀπόστολοι πρὸς ἑαυτοὺς εἰς ἑκάστου τόπ[ου] ὄνομα ὁποίους που ἀπελθεῖν κηρύξαι τῶν Ἀποστόλων, ᾐτήσατο δὲ καὶ ἡ μήτηρ τοῦ Κυρίου κλῆρον, ὅπως μηδ' αὐτὴ εἴη ἄμοιρος· λέγεται δὲ ὅτι ὑπ' αὐτῆς διεδόθησαν οἱ κλῆροι, ὁ δὲ κλῆρος ἐπ' αὐτὴν ἔπεσεν εἰς Ἰβηρίαν ἀπελθεῖν· ἡ δὲ ἀσμένως ἐδέξατο, ὅθεν καὶ ἀπελθεῖν ἤθελεν. Ἐπέστη δὲ ὁ ἀρχάγγελος Γαβριὴλ καὶ λέγει αὐτῇ: μὴ χωρίζου, Παρθένε, τῆς Ἰουδαίας γῆς, ἧγουν τῆς Ἱερουσαλήμ· ταῦτά σοι κελεύει ὁ ὑπὸ σοῦ ἀῤῥάστως γεννηθεὶς Ἰησοῦς Χριστός· ἡ γῆ, ἣ σοι κεκλήρωται, ἧγουν ἡ Ἰβηρία ἣ καὶ τὸ τοῦ Ἄθω ὄρος ὑπὸ τοῦ σοῦ προσώπου φωτισθήσεται.

Ὁ δὲ Λάζαρος ὁ τετραήμερος ἦν ἐν τῇ Κύπρῳ τῇ νήσῳ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἔνθα καὶ ποιμὴν ἐχειροτονήθη ὑπὸ Βαρνάβα τοῦ Ἀποστόλου· ὃς καὶ πολλάκις ἠθέλησεν ἀπελθεῖν ἐν Ἱερουσαλὴμ καὶ ἰδεῖν τὴν μητέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ οὐκ ἐτόλμα ἐκ τῶν ἐκεῖ Ἰουδαίων, καὶ ἦν ἐν ἀδημονίᾳ πολλῇ. Γνοῦσα δὲ ἡ ἁγία Θεοτόκος τὴν αὐτοῦ ἀθυμίαν καὶ λύπην ἔγραψε πρὸς αὐ-

τὸν τοῦ ἀποστεῖλαι αὐτῇ πλοιάριον, ἵνα ἀπέλθῃ καὶ ἴδῃ αὐτόν. Ὁ δὲ μετὰ πολλῆς περιχαρίας τοῦτο ἐποίησεν, εὐτρεπίσας πλοῖον καὶ ἀποστείλας. Ἡ δὲ λαβοῦσα τὸν ἅγιον Ἰωάννην τὸν παρθένον καὶ εὐαγγελιστὴν καὶ δῶρα, ἃ ἐποίησε διὰ τὸν Λάζαρον, ὠμοφόριόν καὶ ἐπιμάνικα, ἐμβάντες εἰς τὸ πλοῖον, πρὸς τὴν Κύπρον ἀπέπλευσαν. Ἀνέμου δὲ μεγάλου πνεύσαντος, ἀπήγαγε τὸ πλοῖον εἰς τὸ τοῦ Ἄθω ὄρος, εἰς τὸν ἀσκάλωνα, τὸ τοῦ Κλήμεντος λεγόμενον, ἔνθα νῦν ἡ Μονὴ τῶν Ἰβήρων ἵδρυται· τὸ δὲ ὄρος ὅλον κατείδωλον ἦν· καὶ γὰρ ἐκεῖσε τὸ τοῦ Ἀπόλλωνος ἱερεῖον ἵστατο, καὶ πανταχόθεν οἱ Ἕλληνες τῆς Οἰκουμένης ἐν τούτῳ τῷ ὄρει συνέτρεχον, ὡς μέγα τε καὶ σεβάσμιον, οἱ μὲν εἰς προσκύνησιν τοῦ Ἀπόλλωνος, οἱ δὲ διὰ χρησμάτων καὶ αἰνιγμάτων, ἤγουν προφητειῶν καὶ μαντευμάτων· τοίνυν καὶ ἕκαστος κατὰ τὴν αὐτοῦ βούλησιν ἀπελάμβανε· καὶ ἦν ἐκεῖ πᾶσα ἡ τοῦ διαβόλου ἐπιστήμη καὶ μέθοδος· τότε τοιγαροῦν ἐκ πάντων τῶν εἰδώλων κραυγὴ σὺν βοῇ μεγάλῃ γενομένη τοιάδε ἠκούετο· ἄνδρες οἱ τοῦ Ἀπόλλωνος ἅπαντες· πορευθέντες εἰς τὸν τοῦ Κλήμεντος λιμένα, προσυπαντήσατε τὴν μητέρα τοῦ μεγάλου Θεοῦ Ἰησοῦ Χριστοῦ Μαρίαν· καὶ πάντων θαυμαζόντων, ἐν τῷ λιμένι συνέτρεχον, ἐν ᾧ τὸ πλοῖον εὑρόντες περὶ τῆς μητρὸς τοῦ μεγάλου Θεοῦ ἐπυνθάνοντο· ἡ δὲ μήτηρ τοῦ Κυρίου ἐφανέρωσεν ἑαυτὴν ἀφόβως εἰποῦσα: ἐγώ εἰμί· οἱ δὲ λαβόντες αὐτὴν, μετὰ πάντων τῶν ἐν τῷ πλοίῳ, ἐν τῷ ἑαυτῶν συναγωγίῳ ἀπήγαγον μετὰ δέους πολλοῦ καὶ σεβάσματος, ἐπερώτησάν τε αὐτὴν λέγοντες: ῥάσον ἡμῖν πῶς ἐγέννησας τὸν μέγαν Θεὸν καὶ Κύριον Ἰησοῦν Χριστόν· ἡ δὲ ἀνοίξασα τὸ μακάριον αὐτῆς στόμα ἅπαντα τὰ ἐπ' αὐτῇ γεγονότα διεσάφησε, καὶ σημεῖα οὐκ ὀλίγα ἐνώπιον αὐτῶν καὶ θαύματα ἐπεδείξατο· καὶ εὐηγγελίσατο αὐτοὺς ἅπαντας καὶ ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος,

καὶ ἐχειροτόνησεν αὐτοῖς ποιμένα· ἐχάρη δὲ ἡ ἁγία Θεοτόκος χαρὰν μεγάλην καὶ ἠγαλλιᾶτο τῷ πνεύματι ἐπὶ πάντων τῶν γινομένων, καὶ εἶπε: τοῦτο τὸ ὄρος ἐδόθη μοι εἰς κλῆρον παρὰ τοῦ υἱοῦ καὶ Θεοῦ μου καὶ εὐχαριστῶ αὐτῷ ὅτι οὐκ εἴασέ με ἄμοιρον· προσηύξατο δὲ καὶ ἐπὶ τοῦ τόπου καὶ κλήρου αὐτῆς, εἰποῦσα: Υἱέ μου καὶ Θεέ μου, εὐλόγησον τὸν τόπον τοῦτον καὶ ἔκχεε τὸ ἔλεός σου ἐπ' αὐτὸν καὶ φύλαξον αὐτὸν μέχρι τῆς συντελείας τοῦ αἰῶνος, καὶ τοὺς κατοικοῦντας ἐν αὐτῷ διὰ τὸ ὄνομά σου καὶ διὰ τὸ ὄνομα τὸ ἐμὸν, διὰ μικροῦ κόπου καὶ ἀγῶνος, ἄφες αὐτοῖς τὰ πλημμελήματα, καὶ ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· ἔμπλησον αὐτοὺς παντὸς ἀγαθοῦ ἐν τῷ νῦν αἰῶνι, καὶ ζωὴν αἰώνιον [δὸς] ἐν τῷ μέλλοντι, καὶ δόξασον τὸν τόπον τοῦτον ὑπὲρ πάντα τόπον· καὶ πλάτυνον τὰ σκηνώματα αὐτῶν ἐν αὐτῷ, ἀπ' ἄκρου ἕως ἄκρου αὐτοῦ· καὶ ἀπὸ βορρᾶ καὶ νότου· καὶ σῶσον αὐτὸν ἀπὸ παντὸς πειρασμοῦ, ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Φωνὴ δὲ οὐρανόθεν ἀπεκρίθη αὐτῇ: ἔσται σοι οὕτως ὡς προσηύξω, ἐάνπερ καὶ αὐτοὶ τὸν σωτήριον νόμον φυλάξωσιν. Εἰ βούλει δὲ εὑρεῖν τὸ ἀληθὲς ἀνάγνωθι τὸν λόγον καὶ βίον Πέτρου τοῦ Ἀθωνίτου, ἔνθα γέγραπται ὅτι κλῆρός ἐστι κατὰ πάντα τὸ ὄρος τοῦ Ἄθω τῆς Ὑπεραγίας Θεοτόκου, καθὼς καὶ αὐτὴ εἶπε τῷ ὁσίῳ Πέτρῳ διὰ στόματος αὐτῆς, ὅτι ἄπελθε ἐν τῷ τοῦ Ἄθωνος ὄρει ἐν τῷ ἐμῷ κλήρῳ, ὅπερ παρὰ τοῦ Υἱοῦ μου καὶ Θεοῦ ἔλαβον εἰς ἐμὸν κλῆρον· καὶ πληρωθήσεται μοναχῶν κατὰ βορρᾶν καὶ νότον*.

Εὐχαριστήσασα τῷ Θεῷ ἐπὶ πάντων ἡ Θεοτόκος εὐλόγησε τὸν τόπον καὶ τὸν λαόν· καὶ εἰσελθοῦσα εἰς τὸ πλοῖον παραπλεῦσαι πρὸς τὴν Κύπρον ὥρμησαν. Ὁ δὲ Λάζαρος ἐν ἀγωνίᾳ ἦν καὶ ἀδημονίᾳ πολλῇ περὶ τῆς ἁγίας Θεοτό-

* ἀπὸ βορρᾶ καὶ νότου :

κου καὶ τοῦ πλοίου καὶ τῶν ἐν αὐτῷ ἀνθρώπων, νομίζων ὅτι ἐναυάγησαν, καὶ ἀπαρακλήτως ἐθρήνει τὴν συμφοράν· ὡς δὲ ἀθρόον ἰδὼν τὸ πλοῖον προσεγγίσαν τῇ Κύπρῳ, χαρὰν μεγάλην ἐχάρη, καὶ προσυπαντήσας καὶ ἀσπασάμενος, τὰ περὶ αὐτῶν ἐπυνθάνετο· ἡ δὲ μήτηρ τοῦ Κυρίου πάντα τὰ ἐν τῷ Ἄθῳ γινόμενα αὐτῷ διηγήσατο, δοῦσα αὐτῷ καὶ τὰ δῶρα: ὠμοφόριον καὶ ἐπιμάνικα, ἅπερ ἐκόμισεν ἐκ τῆς Ἱερουσαλήμ, καθὼς καὶ ἐξ ἀρχῆς ἐδηλώσαμεν· ἐχάρησαν δὲ ἀλλήλοις καὶ τὸν Θεὸν δοξάσαντες ἀπέστειλαν αὐτὴν αὖθις μετὰ πλοίου εἰς τὸ πέραν, καθὼς ἡ τοῦ δικαίου Λαζάρου ἱστορία δηλοῖ.

Ἔζησεν οὖν ἡ ἁγία Θεοτόκος ἐν τῇ ἀνθρωπότητι οὕτως: ἐν τῷ ναῷ Κυρίου ἔτη ΙΔ΄· ἐν τῷ οἴκῳ Ἰωσὴφ μῆνας ΙΓ΄ καὶ εὐηγγελίσθη καὶ ἔτεκε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὁμοῦ ἔτη ΙΕ΄ καὶ μῆνας εἷς· καὶ ἐπὶ τῆς τοῦ Κυρίου ἐνανθρωπίσεως ἔτη ΛΓ΄· καὶ μετὰ τὴν ἀνάληψιν ἔτη ΙΑ΄, ἐν τῷ οἴκῳ τοῦ εὐαγγελιστοῦ Ἰωάννου· ὁμοῦ ἔτη ΝΘ΄ καὶ μετέστη πρὸς οὐρανοὺς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Περὶ δὲ τοῦ Ἄθω ὄρους γράφει καὶ ὁ ἅγιος Ἰωάννης ὁ εὐαγγελιστὴς, εἰς τὴν Ἀποκάλυψιν αὐτοῦ οὕτω: καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέταται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται καιρὸν καὶ καιροὺς ἀπὸ προσώπου τοῦ ὄφεως.— Ἑρμηνεία Παλαιᾶς καὶ Νέας Διαθήκης—ἐδόθησαν οὖν τῇ ἁγίᾳ Ἐκκλησίᾳ δύο γραφαὶ Θεοῦ τοῦ τρισυποστάτου, ἵνα ὑμνῆται ὀρθῶς εἰς ἐκείνην τὴν ἔρημον, ὅπου καὶ εὑροῦσα ἄνεσιν ἀπὸ τῶν αἱρετικῶν, ἤγουν τὰ ἀρχαῖα καὶ τὰ μέσα καὶ τὰ ἐς ὕστερον, ἀπὸ τῶν ζιζανίων τοῦ ἐχθροῦ· πολλοί τινες τῶν ἁγίων εἰρήκασιν ὅτι ταῦτα ἐν τῇ ἐρήμῳ τοῦ ἁγίου ὄρους τοῦ Ἄθω φυλαχθήσονται, ἤγουν τὰ παρὰ τοῦ ἁγίου Ἰωάννου λεχθέντα, καὶ οὕτως ἔχει τὸ ἀληθές. Καὶ ταῦτα μὲν περὶ τούτου.

Ἐν δὲ ταῖς ἡμέραις τοῦ μεγάλου βασιλέως Κωνσταντίνου, γυνή τις εὐλαβὴς καὶ ἄκρως ἐν ἀσκήσει καὶ ἐν τῇ ὀρθοδόξῳ πίστει διαλάμψασα, Μαρία ὄνομα, ἀπηνέχθη αἰχμάλωτος εἰς Ἰβηρίαν, ἐξ ἧς εἰς θεογνωσίαν οἱ Ἴβηρες ἦλθοσαν, κατὰ τὴν τοῦ ἀγγέλου πρόσρησιν ὅτι, τὴν γῆν, ἣν ἄν σοι ὁ κλῆρος κεκλήρωται ὑπὸ τοῦ σοῦ προσώπου φωτισθήσεται· ὃ καὶ γέγονεν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου.

Ὁ δέ γε Μέγας Κωνσταντῖνος, ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθω, τρεῖς ναοὺς μεγίστους ἀνήγειρεν, ἐπ' ὀνόματι τῆς κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου· ἕνα μὲν ἐν τῷ τοῦ Κλήμεντος λιμένι, δεύτερον δὲ ἐν τῷ συντακτικῷ ἤγουν τῷ Πρωτάτῳ, τρίτον δὲ ὅπου εἰσῆλθεν ἡ Θεοτόκος ἐν τῷ πλοίῳ· καὶ μοναχοὺς ἐγκατοικίσας ἐν αὐτοῖς παράδεισον τῆς Θεοτόκου ἐπωνόμασε· καὶ τὸ ὄρος· προστάξας πανταχόθεν λέγεσθαι Ἅγιον· καὶ τὴν πόλιν τοῦ Ἀπόλλωνος Ἱερισσὸν μετωνόμασε, καὶ πάντα θεαρέστως ἐν βίῳ καὶ λόγῳ ἐποίησε. Μετὰ δὲ τὴν ἀποβίωσιν αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ, παρέλαβε τὴν βασιλείαν Ἰουλιανὸς ὁ Παραβάτης, καὶ, οὐ πολὺ τὸ ἐν μέσῳ, ἀνέστη μετὰ μεγάλου θυμοῦ κατὰ τῶν Χριστιανῶν· καὶ τὰ παρὰ τοῦ μεγάλου ἐν βασιλεῦσι καὶ ἰσαποστόλου ἁγίου Κωνσταντίνου δομηθέντα εὐκτήρια ἐν τῷ Ἄθῳ Ὄρει ἐκ βάθρων ὁ ἀλιτήριος θὴρ ἐδαφίασεν.

Περὶ τῆς μεγάλης τοῦ Βατοπεδίου μονῆς.

Μετὰ δέ παραδρομὴν χρόνων τινῶν, τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ἀπέστειλε Βάτος ὁ ἀδελφιδοὺς αὐτοῦ ἐκ Ῥώμης τὸν υἱὸν αὐτοῦ μετὰ μεγάλου πλοίου καὶ δορυφορίας ὅτι πλείστης εἰς τὴν βασιλεύουσαν τῶν πόλεων θεάσασθαι τὸν βασιλέα καὶ θεῖον αὐτοῦ καὶ γενέσθαι γνώριμον αὐτῷ. Γενομένου δὲ τοῦ πλοίου ἐν τῷ Αἰγαίῳ Πελάγει, ἀνέμου βιαίου ἐκπνεύσαντος, συνε-

πόδισε τὸν αἰθέρα καὶ τὸν παῖδα ἐν τῷ πελάγει ἔῤῥιψεν· ὁ δὲ παῖς, Παναγία Θεοτόκε βοήθει μοι, μεγάλῃ τῇ φωνῇ ἀνεβόησε, καὶ εὐθὺς εὑρέθη ἐν τῇ χέρσῳ τοῦ ἁγίου Ὄρους· καὶ φωνὴ ἠκούσθη τοιαύτη ἄνωθεν λέγουσα: ἀνακαίνισον, ὦ παῖ, τὸν θεῖον ναὸν τῆς τοῦ πικροῦ θανάτου ἐκλυτρωσάσης σε Θεοτόκου Μαρίας· λέγεται δὲ ὅτι αὐτὸς ἦν ὁ τρίτος ναός, ὃν ὁ Μέγας Κωνσταντῖνος ἀνήγειρε καὶ ὁ Παραβάτης Ἰουλιανὸς ἐδαφίκασε· τὸ δὲ πλοῖον διεσώθη μετὰ πάντων εἰς τὸ Βυζάντιον, καὶ τῷ βασιλεῖ ἐνεφάνησαν, καὶ τὰς ἐπιστολὰς τοῦ ἀδελφιδοῦ αὐτοῦ δεδώκασι, καὶ τὰ περὶ τοῦ παιδίου συμβάντα ἀνήγγειλαν· ὁ δὲ βασιλεὺς περιορίσας αὐτοὺς καὶ ἐν τῇ φρουρᾷ παραδοῦναι [ἤθελεν] ὡς αἰτίους τῆς τοῦ παιδὸς ἀπωλείας καὶ ἀναιρέσεως. Ὁ δὲ παῖς, ὁδηγηθεὶς παρά τινων τῶν ἐν τῷ τόπῳ μοναχῶν εἰς τὴν Κωνσταντινούπολιν πάλιν ἔρθασεν, ὥρθη τῷ βασιλεῖ καὶ τὰ περὶ αὐτοῦ ἅπαντα αὐτῷ διεσάῤῥησε, καὶ τοὺς ἀθῴους ἐκείνους ἠλευθέρωσεν· ἔγραψε τοίνυν ὁ βασιλεὺς τῷ ἀδελφιδῷ αὐτοῦ εἰς Ῥώμην τὰ τῷ υἱῷ αὐτοῦ συμβεβηκότα ἅπαντα, καὶ τὰ περὶ τῆς τοῦ ναοῦ δομήσεως· ὁ δὲ βασιλεὺς ἦν κομίσας λίθους καὶ κίονας καὶ μουσίον πολὺ ποικίλων χρωμάτων, οἰκοδομῆσαι ναὸν τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, εἰς τιμὴν τοῦ ἁγίου καὶ μνημόσυνον ἑαυτοῦ· καὶ ὡς ἀνέγνω τὴν γραφὴν τοῦ βασιλέως, βαλὼν αὐτὰ εἰς πλοῖον καὶ τέσσαρας κίονας γεραναίους, οὓς ἐκ τοῦ κοιτῶνος αὐτοῦ ἐξέβαλεν, ἀπέστειλεν ἐκεῖσε τοῦ οἰκοδομῆσαι ναὸν τῇ Θεομήτορι· ἄρξαντες δὲ ἀνακαθαίρειν τὸν τόπον, εὐθέως εὑρίσκουσι ῥρέαρ βαθύ, ᾧ καὶ ἐξαντλήσαντες εὗρον ἐν τῷ πυθμένι πίνακα, φερομένην μόῤῥωσιν τῆς Παναχράντου Θεοτόκου, φέρουσαν ἐν ἀγκάλαις τὸ προαιώνιον βρέφος, ὡς ἐν ὀλίγῳ ἀνιστορημένην καὶ διαλάμπουσαν. Ἐπὶ τούτου τοῦ θαύματος χαρὰ μεγάλη γέγονεν, ὥστε τοὺς πάντας τῇ τοιαύτῃ θέᾳ ἐκπλαγῆναι· ἄνωθεν οὖν ἐπὶ τοῦ ῥρέατος ἀνεστήλωσαν τὴν

ἁγίαν τράπεζαν καὶ τὸ θυσιαστήριον· δομήσαντες δὲ καὶ τὸν ναὸν ἐπὶ τοὺς τέσσαρας κίονας, οὓς προέφημεν, καὶ μουσίον ἀνιστόρησαν πανευπρεπῶς τῷ τοίχῳ σὺν τῷ ἐδάφει· καὶ τὴν ὀροφὴν χαλκῷ κεχρυσωμένῳ κατεστέγασαν ἅπαν, καὶ τὴν μάνδραν τείχεσιν ὑψηλοῖς ἐδυνάμωσαν, καὶ ἐντὸς κελλίων ὅλην ἀνεπλήρωσαν, ἃ ὡς θέμις ἠὐτρέπισαν καὶ Βατοπαίδιον ἐπωνόμασαν, τοὐτέστι τοῦ Βάτου παιδί· ἥ ἐστι κτιτορικῶς ἡ ἐπωνυμία, ἕως τῆς σήμερον.

Περὶ τῆς Πορταϊτίσσης Θεοτόκου.

Περὶ δὲ τῆς ἁγίας εἰκόνος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Πορταϊτίσσης, τῆς οὔσης ἐν τῇ Μονῇ τοῦ Κλήμεντος ἡγουν τῶν Ἰβήρων, ἐκπλήττεται πᾶσα ἀκοὴ καὶ ἔννοια τῆς αὐτῆς παρουσίας τὸ μέγεθος· ὥρθη γὰρ πλησίον πρὸς τοῦ Ἄθω ὄρους, ἐν τῷ Λιγαίῳ Πελάγει καὶ ἀκτῖνας ἡλίου ἐκπέμπουσα, ὥστε τοὺς πάντας ἐκπλήττεσθαι τῇ θέᾳ αὐτῆς· ἅπαντες τοίνυν οἱ ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω ἀσκούμενοι ὀνομαστοὶ μοναχοί, ἐν πλοίοις ἐμβάντες, πρὸς τὴν ἁγίαν εἰκόνα ᾤχοντο, συλλαβέσθαι αὐτὴν πειρώμενοι· ἡ δὲ ἁγία εἰκὼν τούτους διέφευγεν ἔνθεν κακεῖθεν, ἕως οὗ ἐκ τῆς ἁγίας εἰκόνος φωνὴ ἠνέχθη τοιάδε ὅτι, εἰ μὴ Γαβριήλιος ὁ Ἴβηρ ἔλθῃ ἐκ τοῦ μικροῦ Ἄθω τῇ χέρσῳ ἐγὼ οὐκ ἔρχομαι. Ἅπαντες τοίνυν οἱ μοναχοὶ τοῦ ὄρους ἀπῆλθον πρὸς τὸν ἀββᾶν Γαβριήλιον τὸν Ἴβηρα, ἐν τῷ μικρῷ Ἄθωνι, ἔνθα τοὺς ἀσκητικοὺς διήνυεν ἄθλους· καὶ ἠντιβόλουν αὐτὸν ἀπελθεῖν εἰς τὸν αἰγιαλὸν καὶ λαβεῖν τὴν εἰκόνα, αὐτὸς δὲ ἀνάξιον ἑαυτὸν ἔλεγεν εἶναι τοῦ τοιούτου τολμήματος· διὰ δὲ τὴν πολλὴν αὐτῶν παράκλεσιν ἐπορεύθη εἰς τὸ αἰγιαλὸν καὶ προσηύξατο περιπατῆσαι ἐπὶ τὰ ὕδατα· ἡ δὲ θεία εἰκὼν τῆς Παναχράντου Θεοτόκου ἦλατο εἰς τὰς ἀγκάλας τοῦ γέροντος· καὶ ἐξελθὼν μετ' αὐτῆς ἐν τῇ χέρσῳ, ἅπαντες προσεκύνησαν αὐτὴν μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως, εὐχαριστήταν·

τες τῷ Θεῷ ἐπὶ τοῦ τοιούτου παραδόξου θεάματος, εἶτα ἀπηνέγκαντες ἐν τῇ Μονῇ τοῦ Κλήμεντος, ἐν τῷ ναῷ ἀνέθεντο· τὸ δὲ πρωὶ εὑρέθη ἔξω τῆς Μονῆς ἐν τῷ λόφῳ, τὰς ἀκτῖνας ἕως τῆς Μονῆς ἐπαφιεῖσα, ἣν λαβόντες ἐκεῖθεν ἐν τῷ ναῷ ἀνεκόμισαν, καὶ πάλιν ἐφυγάδευσεν, ἕως οὗ ἀπεκαλύφθη τῷ μοναχῷ Γαβριηλίῳ τῷ Ἰβήρι, ὅτι, εἰ μὴ ἕτερον ναὸν ἐν τῇ πόρτῃ δομήσωσιν, οὐ προσμένω ἐντός· οὐ γὰρ ἦλθον ἵνα αὐτοί με φυλάξωσιν, ἀλλ' ἵνα ἐγὼ φυλάξω αὐτούς· οἱ δὲ εὐθέως ἀνήγειραν ἐν τῇ Πόρτῃ ναὸν περικαλλῆ, ἐν ᾧ τὴν ἁγίαν εἰκόνα τῆς Θεοτόκου κατέθεντο, καὶ ἀλλαχόθεν πύλην ἀνοίξαντες πλησιέστερον· ἐκ τούτου οὖν Πορτιάτισσαν τὴν ἁγίαν εἰκόνα ἐπονομάσαντες, καθὼς αὐτὴ διετάξατο· ἣ καὶ ἐποίει καὶ ποιεῖ καθ' ἑκάστην σημεῖα καὶ τέρατα πολλά, ὡς ἡ κατ' αὐτὴν ἱστορία δηλοῖ.

Περὶ τῆς μονῆς τοῦ Ζωγράφου.

Ἐπὶ τῆς βασιλείας Λεόντος τοῦ σοφοῦ τρεῖς ἀδελφοὶ γνήσιοι, οὓς ἤνεγκεν ἡ μεγαλόπολις Ἀχρειδῶν, ἐπὶ ἑνὸς σκοποῦ ὁμογνωμονήσαντες, γεγόνασι μοναχοί, καταλιπόντες πλοῦτον, δόξαν καὶ τὴν ἄλλην φαντασίαν τοῦ κόσμου, μετανάσται γενόμενοι ἐν τῷ Ἄθῳ Ὄρει εὐαγγελικῶς, διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· οἳ καὶ ποιήσαντες ἑαυτοῖς τρεῖς σκηνάς, κατῴκησαν ἀπὸ μικροῦ διαστήματος ἀλλήλοις διαχωριζόμενοι, μόνον δὲ ἡ Κυριακὴ προσεκάλει αὐτούς, κατὰ τὸ εἰωθὸς αὐτῶν· ὧν τῆς ἀρετῆς ἡ φήμη πανταχοῦ διεξῆλθε, καὶ πολλοὶ προσεκολλήθησαν αὐτοῖς, οὓς νεύσει θείᾳ μοναστήριον δομῆσαι προὐξένησεν. Εὑρόντες τοιγαροῦν τόπον, δι' ἀποκαλύψεως Θεοῦ, ᾠκοδόμησαν μοναστήριον· ἠθέλησαν δὲ τὸν ναὸν ἐπονομάσαι, καὶ τῶν μὲν λεγόντων τοῦ ἁγίου Νικολάου, τῶν δὲ Κλήμεντος τοῦ ἐν τῇ Ἀγριδι ἁγίου τῇ πατρίδι αὐτῶν, καὶ διὰ τὸ ἀσύμφωνον ἔκειτο ἡ εἰκὼν ἐν τῷ τόπῳ ἀνιστόρητος· ἐν μιᾷ οὖν τῶν ἡμερῶν, πρωΐ,

ὤφθη ἱστορισμένη, φέρουσα τὸν μεγαλομάρτυρα Γεώργιον, καὶ ἐξεθαμβήθησαν ἅπαντες τοῦ παραδόξου θαύματος. Δοξάσαντες οὖν τὸν Θεὸν κεκλήκασι τὸν ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Γεωργίου.

Περὶ τῆς εἰκόνος.

Περὶ δὲ τῆς εἰκόνος τοῦ ἁγίου Γεωργίου τὰ ἐξ ἀρχῆς διηγήσομαι. Κώμη τις ἦν πλησίον πόλεως Λύδδης, Φανουήλ καλουμένη, ἥτις ναὸν εἶχε τοῦ μεγαλομάρτυρος Γεωργίου σὺν οὐκ ὀλίγοις μοναχοῖς, καὶ ἦν ἐκεῖσε θαυματουργῶν ὁ ἅγιος ἐξαίσια, καὶ ὅσοι ἐν ποικίλαις νόσοις ἢ ἀνιάτοις τραύμασιν ἢ πάθεσι δεινοῖς κατεχόμενοι προσέτρεχον ἐν τῷ ναῷ καὶ τὴν ἴασιν ἀρυόμενοι εἰς τὰ ἴδια ἔτρεχον χαίροντες καὶ εὐχαριστοῦντες Θεῷ καὶ Γεωργίῳ τῷ μεγαλομάρτυρι. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἅφαντος ἡ ἱστορία τοῦ ἁγίου ἐκ τῆς εἰκόνος γενομένη, μόνον ἡ εἰκὼν γυμνὴ καὶ κενὴ ἐν τῷ τόπῳ ἵστατο· καὶ πάντας μὲν ἐξέπληξε καὶ εἰς λύπην ἐνέβαλε τὸ τοιοῦτον θέαμα, ὁ δὲ ἅγιος ἐφάνη τῇ νυκτὶ κατ' ὄναρ τῷ ποιμένι καὶ φησί· τί περίλυπος εἶ περὶ ἐμοῦ, ὦ ποιμήν; ἐγὼ γὰρ εὗρον ἐν τῷ Ἄθῳ ὄρει κατοικίαν, ὅ ἐστιν εἰς κλῆρον τῆς Ὑπεραγίας Θεοτόκου· εἰ γὰρ θέλεις ῥυσθῆναι καὶ σὺ ἐκ τῆς ἐπερχομένης ἀνάγκης, δεῦρο καὶ αὐτὸς ἐκεῖ μετὰ τῶν σὺν σοὶ ἀδελφῶν, κἀκεῖ με εὑρήσετε· παρέδωκε γὰρ ὁ Θεὸς τὴν Παλαιστίνην πᾶσαν τοῖς (ἀλλοφύλοις), διὰ τὸ πλῆθος τῶν ἀνομιῶν τοῦ λαοῦ· ἔξυπνος δὲ γενόμενος ὁ ποιμὴν καὶ πιστεύσας τὸ ὅραθὲν συνήθροισε τοὺς μοναχοὺς καὶ ἀπήγγειλεν αὐτοῖς τὰ παρὰ τοῦ ἁγίου φθεγγόμενα, εἶτα προσκαλεσάμενος τοὺς ἐγκρίτους τῆς κώμης εἶπε πρὸς αὐτούς, παρακατέχετε τὴν Μονὴν καὶ φυλάξατε· ἡμεῖς γὰρ ἀπερχόμεθα εἰς τόπους ἁγίους προσκυνῆσαι καὶ τὸ τοῦ Θεοῦ θέλημα γενέσθω ἐφ' ἡμᾶς καὶ εἰς ὑμᾶς· τὸ δὲ μυστήριον καὶ τὸ ὅραμα ἀπέκρυψεν ἐξ αὐτῶν. Εὐθὺς οὖν πρὸς δυσμὰς πορείαν

ποιούμενοι, μετὰ δακρύων καὶ ὀδυρμῶν, κατέβρεχον τὰς παρειὰς ἑαυτῶν διά τε τὸν χωρισμὸν τῆς Μονῆς καὶ τῶν οἰκείων· ἱκανὰς οὖν ἡμέρας ὁδεύσαντες ἔρθασαν ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω, ἐν ᾧ εὑρόντες τὴν Μονὴν εἰσῆλθον ἐν τῷ ναῷ, καὶ ἰδόντες τὴν εἰκόνα, τὸν ἅγιον ἐπέγνωσαν ἄτρεπτον καὶ ἀναλλοίωτον ὄντα, καθὼς ἦν ἐν τῇ κώμῃ Φανουήλ τὸ πρότερον, καὶ πεσόντες εὐθὺς, ἔμπροσθεν τῆς εἰκόνος τῷ ἐδάφει, τοῖς δάκρυσι κατέβρεχον, λέγοντες, τί τοσαύτην λύπην περιέβαλες ἡμᾶς μεταναστεύσας σὺν ἡμῖν ἐνθάδε, ὦ μεγαλομάρτυς Χριστοῦ Γεώργιε· οὓς οἱ τῆς Μονῆς μοναχοὶ οὕτως ἰδόντες μόλις αὐτῶν κατέπαυσαν τὰ δάκρυα· ἐπερώτων τε αὐτοὺς, τίς ὁ τοσοῦτος κοπετὸς ἀδελφοὶ παρ' ὑμῖν; φράσατε ἡμῖν· οὔπω γὰρ ἐγίνωσκον οὗτοι τὰ παρὰ τοῦ ἁγίου γενόμενα· οἱ δὲ διηγήσαντο πάντα περί τε τοῦ ἁγίου καὶ ἑαυτῶν· καὶ οὗτοι τὰ ἐν ᾧδε γινόμενα ὁμοίως λέξαντες ἐκείνοις, ἀμφότεροι ἐδόξασαν τὰ μεγαλεῖα τοῦ Θεοῦ καὶ τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον, τὸν ποιμένα δὲ τὸν ἐν Φανουὴλ καὶ ᾧδε ποιμένα ἐν τῇ Μονῇ καταστήσαντες· Εὐστράτιος τοὔνομα· ἦν ποιμαίνων καλῶς τὸ ἐκυτοῦ ἐν Χριστῷ ποίμνιον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Ἐκ τῆς εἰκόνος γὰρ ἐπωνομάσθη καὶ ἡ Μονὴ τοῦ Ζωγράφου.

ΘΕΟΔΩΡΗΤΟΥ ΗΓΟΥΜΕΝΟΥ

ΥΠΟΜΝΗΜΑΤΑ ΠΑΛΑΙΑ

ΠΕΡΙ ΤΟΥ ΟΡΟΥΣ ΑΘΩ

ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΕΣΦΙΓΜΕΝΟΥ.

Τὸ ὄρος Ἄθω ἐκλήθη παρά τινος γίγαντος Ἄθω καλουμένου, ὃς ἦτον υἱὸς τοῦ Ποσειδῶνος, καὶ μητρὸς Ῥοδόπης τῆς Στρύμονος καὶ ἀπὸ μὲν τὴν μητέρα ἐκλήθη τὸ ὄρος τῆς Θράκης, ἀπὸ δὲ τοῦ υἱοῦ τὸ πέλαγος· ἔκειτο δὲ ἐπάνω τῆς κορυφῆς τοῦ Ἄθω εἰς ἀνδριὰς τοῦ Διός· σώζει ἡ κορυφὴ αὕτη σχῆμα μαστοῦ· ἐβούλετο δὲ ὁ ἀρχιτέκτων Στησικράτης σχηματίσαι εἰς ἀνδριάντα τοῦ Μακεδόνος Ἀλεξάνδρου, κρατοῦντα εἰς μὲν τὴν δεξιάν του τὴν ὑδρόγειον σφαῖραν, καὶ μὲ τὴν ἀριστεράν του χύνοντα ποταμοὺς εἰς τὴν θάλασσαν. Ἐνοῦτο δὲ ὁ Ἄθως μὲ τὴν Χαλκιδικὴν χώραν διὰ ἰσθμοῦ πλάτος σταδίων δώδεκα ἔχοντος, ὃν ὁ Ξέρξης ἔκοψέ ποτε, κατὰ τὸν Ἡρόδοτον· καλεῖται δὲ ὁ ἰσθμὸς Πρόβλακας· ἡ δὲ περίμετρος τοῦ Ἄθω εἶναι μιλίων 150, ἡ σκιὰ αὐτοῦ συσκιάζει τὰ νῶτα τῆς Λημναίας ἁλὸς, ἀφισταμένης ἐκεῖθεν μίλια 88· ὁ κοινῶς λεγόμενος κόλπος τοῦ ἁγίου Ὄρους, ἐκαλεῖτο Σιγγιτικὸς, τὴν κλῆσιν λαβὼν ἀπὸ τῆς Σίγγου, ποτὲ πόλεως οὔσης εἰς τὴν παραθαλασσίαν ὑπερορείαν τοῦ Ἄθω, πλησίον τοῦ Ἀκανθίου ἰσθμοῦ, (Πρόβλακος)· ἦτον καὶ ἡ Στρατονίκη πόλις, ἡ νῦν λεγομένη Φραγκόκαστρον· τὸ δὲ νυμφαῖον ἄκρον, κοινῶς ὁ κάβος τοῦ ἁγίου Ὄρους, εἶναι τὸ ὄρος Ἄθω, εἰς τὸ ὁποῖον ἦσαν ποτὲ πόλεις πέντε, Δῖον, Κλεω-

ναὶ, Θύσσα, Ὀλόφυξος καὶ Ἀκράθως, κατοικούμεναι ἀπὸ ἀσεβεῖς εἰδωλολάτρας, ἄχρις οὗ ἔλαμψαν αἱ ἀκτῖνες τοῦ θείου φωτὸς καὶ ἐδέθη κλῆρος τῆς Θεοτόκου. Καθὼς καὶ ἡ Ῥωσσία ἔχει θεμελιωτὴν τὸν Ἀπόστολον Ἀνδρέαν, ὅστις εὐλόγησεν ἀπὸ μακρόθεν τὴν εἰς αὐτὴν πρώτην ἔλευσιν τοῦ χριστιανισμοῦ καὶ ἀναβὰς διὰ τοῦ Βορυσθένους εἰς τὴν ἔρημον Σκυθίας, ἐνέπηξεν αὐτὸς πρῶτος τὸν Σταυρὸν ἐπὶ τῶν ὀρέων Κιέβου καὶ προεῖπε τοῖς μαθηταῖς του· «βλέπετε τὰ ὄρη ταῦτα; ἐπὶ τῶν ὀρέων τούτων λάμψει ἡ θεία χάρις, καὶ ἡ πόλις αὕτη γενήσεται μεγάλη καὶ πολλαὶ ἐκκλησίαι ἀνεγερθήσονται παρὰ τοῦ Θεοῦ». Ταῦτα λέγει εἰς τὴν διήγησιν ὁ ἐκ τῆς Μονῆς Πετσάρκης (Σπηλαίου) ὁ μελανείμων ἅγιος Νέστωρ, μαθητὴς τοῦ ὁσίου Ἀντωνίου, ὁ γράψας καὶ τὸν βίον αὐτοῦ· ἀλλ' ὕστερον, μετὰ ἐννέα ἑκατονταετηρίδας, ἔλαμψεν ἡ εὐσέβεια εἰς τὴν Ῥωσσίαν.

Οὕτω καὶ τὸ ὄρος Ἄθω, καὶ ἡ Ἰβηρία κλῆρος ἐδέθησαν τῆς ὑπεραγίας Θεοτόκου, ἀπὸ πρώτης ἀποστολῆς τοῦ ἀποστολικοῦ κηρύγματος, ἐν δὲ ταῖς ἡμέραις τοῦ πρώτου βασιλέως τῶν χριστιανῶν Ἰσαποστόλου Κωνσταντίνου, ἡ μὲν Ἰβηρία ἐδέχθη τὴν εὐσέβειαν παρά τινος γυναικὸς αἰχμαλώτου, κατὰ τὴν ἱστορίαν. Τὸ δὲ ὄρος Ἄθω ἤρξατο κατοικεῖσθαι ἀπὸ μοναχοὺς κατ' ὀλίγον, καὶ ἐν τοῖς ἐσχάτοις χρόνοις, ὅτε αἱ ἐν Παλαιστίνῃ, Αἰγύπτῳ, Σιναίῳ Λιβύῃ καὶ Ἀσίᾳ μοναὶ κατεκρημνοῦντο, συνήγοντο ὡς ἀπὸ γραμμὰς εἰς κέντρον τὰ στίφη τῶν μοναχῶν εἰς τὸ ὄρος Ἄθω, καὶ ἐπληρώθη ἡ ῥῆσις τῆς Θεοτόκου ἡ λέγουσα. «Τὸ ὄρος Ἄθω αἰτησαμένη εἴληφα παρὰ τοῦ υἱοῦ μου καὶ Θεοῦ, ὅπως οἱ τῶν κοσμικῶν ἀναχωροῦντες συγχύσεων, καὶ τῶν πνευματικῶν, ὅση δύναμις, ἀντεχόμενοι, καὶ τὸ ἐμὸν ἀληθείᾳ καὶ πίστει καὶ διαθέσει ψυχῆς ἐπικαλούμενοι ὄνομα τήν τε παροῦσαν ζωὴν ἀμέριμνον διανύωσι· πάνυ γὰρ ἐπιτερπῶς ἔχω τούτου, καὶ λίαν μου τὸ

πνεῦμα ἐπ' αὐτῷ ἐπευφραίνεται· καὶ γὰρ σαφῶς οἶδα, ὅτι ἔσται ποτὲ, ὅτε πλησθήσεται τοῦ τάγματος τῶν μοναχῶν ἀπ' ἄκρου ἕως ἄκρου αὐτοῦ, καὶ τὸ ἔλεος τοῦ ἐμοῦ υἱοῦ καὶ Θεοῦ, εἴ γε καὶ αὐτοὶ τῶν σωτηρίων ἐντολῶν ἀντέχονται, εἰς τὸν σύμπαντα αἰῶνα ἀπ' αὐτῶν οὐ διασκεδασθήσεται, καὶ πλατυνῶ αὐτοὺς ἐπὶ νότον καὶ βορρᾶν τοῦ εἰρημένου ὄρους καὶ κατακυριεύσουσιν αὐτοῦ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ τὸ ὄνομα αὐτοῦ ἐν πάσῃ τῇ ὑρηλίῳ περιβόητον θήσω, καὶ τῶν διακαρτερούντων ἐν αὐτῷ ὑπερασπιῶ».

Αὗταί εἰσιν αἱ προρρήσεις τῆς Θεοτόκου πρὸς τὸ ὄρος Ἄθω αἱ ἔκπαλαι διαδιδόμεναι διὰ τοῦ ἡσυχαστοῦ Πέτρου, ὅτε παρέδωκεν αὐτὰς τοῖς λοιποῖς ἀσκουμένοις ἐν τῷ ὄρει· ὅτι ἐὰν μόνος ἔμενε, πρός τίνα ἆρά γε ἤθελεν εἴπῃ καὶ παραδώσῃ αὐτάς; τοῦτό ἐστι παραλογισμός. Πῶς δὲ τὸ ὄρος ἤρξατο κατοικεῖσθαι ἀπὸ μοναχοὺς, ἄνωθεν ἀπ' ἀρχῆς θέλομεν διηγηθῇ ὧδε, ὡς ἐκ παλαιῶν ὑπομνημάτων σωζομένων ἐν μεμβράναις εὕρομεν, πρὸς μνήμην τῶν μεταγενεστέρων.

Ἔχει δὲ οὕτω.

Πρὸ τοῦ μεγάλου Κωνσταντίνου, οἱ κάτοικοι τοῦ ὄρους ἀσεβεῖς, ὑπέπεσον εἰς βασιλικὴν ὀργὴν, καὶ οἱ μὲν μαχαίρας ἔργον ἐγένοντο, οἱ δὲ, διεσκορπίσθησαν ἀλλαχοῦ, ὡς οἱ Χαναναῖοι τὸ πάλαι, ἵνα κληρωθῇ τοῖς νέοις Ἰσραηλίταις μοναχοῖς, κατὰ θείαν πρόνοιαν, προμηθείᾳ τῆς Θεοτόκου. Οὕτως ἔφη ὁ ὅσιος πατὴρ ἡμῶν Νεῖλος ὁ μυροβλύτης δι' ἀποκαλύψεως μοναχῷ τινί. Ὅτε δὲ ἡ εὐσέβεια πανταχοῦ ἐφηπλοῦτο διὰ τοῦ ἰσαποστόλου Κωνσταντίνου τοῦ Μεγάλου καὶ ναοὶ εἰς δόξαν Χριστοῦ ἠγείροντο, κινούμενος ἐκ Θεοῦ ὁ πιστὸς ἄναξ κτίσαι πόλιν ἰδίαν, ἵνα καθὼς ἡ πίστις τῶν χριστιανῶν ἔλαβεν ἀρχὴν βασιλείας εὐσεβοῦς καὶ κατηργήθη ἡ τῶν ἀσεβῶν ἐπικράτεια σὺν τῇ πλάνῃ τῆς εἰδωλολατρείας, οὕτω καὶ νέα πόλις βασι-

λεύουσα ἐγερθῆ, ὡς ἀπαρχὴ τῆς τῶν χριστιανῶν βασιλείας. Ὅθεν τοιαύτην καλὴν βουλὴν βαλὼν ὁ εὐσεβέστατος βασιλεὺς, καὶ στοχαζόμενος ἐν ποίῳ χώρῳ τὴν τοιαύτην πόλιν οἰκοδομήσῃ καὶ σκεψάμενος ἐξελέξατο τὸν ἀκάνθινον ἰσθμὸν, ὃν ὁ Ξέρξης τὸ πάλαι ἠβουλήθη διακόψαι καὶ διαπεράσαι τὰ πλοῖα, ὅπου ἡ παραθαλάσσιος πόλις Σίγγος, ἀφ' ἧς ὁ κόλπος Σιγγιτικὸς ἐκλήθη· ὕστερον δὲ διὰ τὸ ὑπὸ παρθένων ἱερισσῶν κατοικίαν τὸ πολύχνιον γενέσθαι Ἱερισσὸς ἐκαλέσθη, ὡς παρὰ τοῦ ἐπισκόπου αὐτοῦ ὑπογράφεται. Ἄθουσα δὲ καὶ Πάνορμος καὶ Ἀθώσα ἐκαλεῖτο, ἧς πλησίον καὶ ἡ Στρατονικὴ πόλις, πρὸς τὴν ὑπώρειαν τοῦ Ἄθω εἰς Χαλκιδικὴν χώραν ἔκειτο ἡ νῦν Φραγκομοναστήριον (ἐρείπιον) καλουμένη. Ἀπελθὼν οὖν πρῶτον εἰς Θεσσαλονίκην διέτριψεν ἐκεῖσε χρόνους δύο, κατὰ τὴν ἱστορίαν, εἶτα διὰ τὸ θανατικὸν ὅπου συνέβη τότε, ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἐλθὼν ἱστόρησε τὸν τόπον. Ὅθεν ὥρισεν ἀρχιτέκτονα καὶ κτίστας οἰκοδομῆσαι τὴν πόλιν· εὑρίσκετο δὲ τότε ὁ ἅγιος Μακάριος ἐπίσκοπος εἰς τὸ πολύχνιον, ἀνὴρ πάσῃ ἀρετῇ κεκοσμημένος, μὲ τὸν ὁποῖον συναναστραφεὶς ὁ μέγας Κωνσταντῖνος, καὶ εὐλαβηθεὶς αὐτὸν ἠρώτα λατινιστὶ διὰ τοῦ ἑρμηνέως, ὅτι τὴν ἑλλάδιον φωνὴν οὐκ ἐγίνωσκε. Πυθόμενος οὖν περὶ τῆς ἀρχαιότητος τοῦ τόπου, καὶ τοῦ ὄρους Ἄθω, διηγήθη αὐτῷ ὁ ἐπίσκοπος ὅτι ἦτο κλῆρος τῆς Θεοτόκου ἀπὸ πρώτης ἀρχῆς τοῦ εὐαγγελικοῦ κηρύγματος, ὡς κατὰ παράδοσιν εἶχασι. Ταῦτα ἀκούσας ὁ εὐσεβέστατος, καὶ θυμηδίας ἀῤῥάτου πλησθεὶς, εἶπεν ἐνώπιον τῶν παρευρεθέντων μεγιστάνων καὶ ἀρχόντων θεσσαλονικέων εὐγενῶν, ὅτι οὐ θέλω ἐγκαλεῖσθαι παρὰ τῆς ὑπεραγίας μου Θεοτόκου, διὰ τὸν θεόθεν δοθέντα εἰς αὐτὴν ἡγιασμένον κλῆρον, ἀλλ' αἰτοῦμαι τὴν χάριν αὐτῆς καὶ ἀντίληψιν. Βεβαιωθεὶς οὖν ὁ βασιλεὺς καὶ πιστωθεὶς τὰ λαληθέντα παρὰ τοῦ ἁγίου Μακαρίου, παραίτησε τοῦ οἰ-

κοδομεῖν τὴν πόλιν καὶ ὥρισε διὰ βασιλικοῦ θεσπίσματος, ἵνα ἀπέλθωσιν ὅ τε ἀρχιτέκτων, καὶ οἱ κτίσται εἰς τὸ Ἀθωϊκὸν ὄρος, καὶ οἰκοδομῆσαι ναοὺς τρεῖς, κατὰ τὸ βασιλικὸν σχέδιον, ὃ καὶ ἐγένετο. Ἐκτίζετο δὲ τότε ναὸς τοῦ μεγαλομάρτυρος Δημητρίου, ὃς σώζεται ἐν τῇ Σκήτει τοῦ Βατοπαιδίου. Εἰς δὲ τὸν λιμένα τοῦ Κλήμεντος καλούμενον, ἔνθα οἱ πόδες τῆς Θεοτόκου ἐπάτησαν, ὅτε ἀπερχομένη εἰς Κύπρον πρὸς τὸν τετραήμερον Λάζαρον, ἀνέμου πνεύσαντος, ἔφθασε τὸ πλοῖον εἰς Ἄθω καὶ τὸν χῶρον ηὐλόγησε καὶ τὸ τοῦ κλήρου αὐτῆς κήρυγμα ἔλαβε τέλος.

Περὶ τοῦ λιμένος Κλήμεντος.

Περὶ τῆς ἐλεύσεως τῆς Θεοτόκου ἐν Ἄθῳ, οὐ μόνον ἐν παλαιοῖς χειρογράφοις βίβλοις εὑρίσκεται γεγραμμένον ἔν τε τῇ Μονῇ τοῦ Βατοπαιδίου, Φιλοθέου καὶ Σκήτῃ τῆς Ἁγίας Ἄννης, ὡς εἴδομεν καὶ ἀνέγνωμεν, καὶ ἀλλαχοῦ ἐν τῷ Ὄρει, ἀλλὰ καὶ ἐν τετυπωμένοις βιβλίοις Ῥωσσικῆς, Ἰλλυρικῆς διαλέκτου, καὶ δακικῆς (βλαχικῆς) εἴδομεν γεγραμμένον καὶ οἱ πολλοὶ φυσιολόγοι εἰς αὐτὸ ἀπιστοῦσιν· ἀλλ' ἡμεῖς διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους. Περὶ δὲ τοῦ λιμένος Κλήμεντος δηλοῦμεν ὅτι, δύο λιμένες ἐν τῷ Ὄρει Ἄθῳ εἰσὶν, ὁ ἐν τῷ νοτίῳ μέρει καλούμενος Δάρνης, ἀσύλου τὸ πάλαι, ὅπου βωμὸς τῆς Δάρνης ἔκειτο, καὶ ὁ ἐν τῷ βορείῳ τοῦ Κλήμεντος· ὅπου ἡ μονὴ τοῦ Βατοπαιδίου νῦν κεῖται. Ἡ δὲ μονὴ τῶν Ἰβήρων, μονύδριον Κλήμεντος ἐκαλεῖτο, ὡς εἰς βίον τοῦ ὁσίου Πέτρου τοῦ Ἀθωνίτου φαίνεται, ἔνθα ἡ εἰκὼν τῆς Θεοτόκου Πορταϊτίσσης ἐξῆλθεν. Ὕστερον δὲ ὁ ἐξ Ἰβηρίας Ἰωάννης ᾠκοδόμησε πύργον καὶ ναὸν τοῦ Προδρόμου, Πίθον καὶ Χαρζανὰ κληθὲν, τῷ 960· κατὰ δὲ τὸ ᾳλ' Γεώργιος Τορνικὸς ἤγειρε τὴν μονὴν ὅλην. Ὁ δὲ λιμὴν τοῦ Κλήμεντος πλησίον τῆς πάλαι πόλεως Κλεωνῶν ἦν, ἔνθα τὸ Βατοπαίδιον, ὅπου καὶ οἱ πόδες τῆς Θεοτόκου

ἐπάτησαν. Εἰς αὐτὸ τοίνυν τὸ τῶν Κλεωνῶν ἀκρωτήριον, ἐκτίσθη ναὸς ὑπερμεγέθης εἰς τιμὴν τῆς κοιμήσεως τῆς Θεοτόκου, ὅτι ἐν τῷ ἔτει ἐκείνῳ ὅτε ἀπῆλθε πρὸς Λάζαρον, καὶ ὑπέστρεψεν εἰς Ἱερουσαλὴμ, ἐκοιμήθη ἡ Θεοτόκος· ὕστερον δὲ μετὰ τὴν ὑπὸ Ἰουλιανοῦ Παραβάτου ἐρήμωσιν ταύτης, καὶ παρὰ Θεοδοσίου τοῦ μεγάλου ἀνέργεσιν καὶ αὖθις κατὰ τὸ 861 ἐρημωθείσης, διὰ τὴν διὰ ψηφίδων μωσαικοῦ ἱστορίαν τοῦ Εὐαγγελισμοῦ, σωθεῖσαν ἔσωθεν καὶ ἔξωθεν τοῦ ναοῦ, ἐτιμήθη εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Διὰ δὲ τὴν εὕρεσιν τῆς εἰκόνος Βηματαρίσσης, καὶ τοῦ τιμίου Σταυροῦ ἐν τῷ φρέατι, τελεῖται λειτουργία ἐν τῷ καθολικῷ ναῷ καθ' ἑκάστην τρίτην ἡμέραν τῆς ἑβδομάδος. Ἐκτίσθησαν δὲ καὶ ἕτεροι δύο ναοὶ ὁ τοῦ Πρωτάτου καὶ ὁ τοῦ Κωνσταντίου καλούμενος, ἐδόθη δὲ σάκρα βασιλικὴ εἰς τὸν πρῶτον τοῦ Ὄρους φορεῖν μανδύαν καὶ κρατεῖν βακτηρίαν καὶ φορεῖν πολυσταύριον φελώνιον, ὡς οἱ τῶν ἀρχιερέων ἔγκριτοι, ὡς καὶ ἐπιγονάτιον ἀπαιωρεῖν, καὶ ἀποκαθιστᾶν πνευματικοὺς καὶ κείρειν ἀναγνώστας καὶ ὑποδιακόνους εἰς τὰ μονύδρια.

